Τοῦ ὑπὸ Ἀγάβου προρρηθέντος λιμοῦ ἤδη ἀκμάζοντος, ὁ Παῦλος τὸ δεύτερον τοῦτο μετὰ τὴν ἐπιστροφὴν αὐτοῦ, σὺν τῷ Βαρνάβᾳ εὐρέθησαν εἰς Ἱερουσαλὴμ, καὶ πληρώσαντος ἐνταῦθα τὴν διακονίαν, δι' ἣν ἀπεστάλησαν, διὰ τῆς χορηγίας τῶν διανεμηθέντων βοηθημάτων, ὑπέστρεψαν ὁμοῦ πάλιν εἰς Ἀντιόχειαν, συμπαραλαβόντες μεθ' ἑαυτῶν καὶ Ἰωάννην τὸν ἐπικληθέντα Μάρκον [29]). Οὐχ' οὗτος δὲ Μάρκος ἦν ὁ Εὐαγγελιστὴς, ἀλλ' ἕτερός τις, ἀνεψιός τε ὢν καὶ Μαθητὴς τοῦ Βαρνάβα, υἱὸς Μαρίας τινὸς χριστιανῆς γυναικὸς, ἧς ἦν καὶ ἡ ἐν Ἱερουσαλὴμ οἰκία, ἐν ᾗ συχνάκις οἱ Ἀπόστολοι συνηθροίζοντο. Ἔνθα καὶ ὁ Πέτρος εὗρε τοὺς μαθητὰς συνηγμένους τε καὶ προσευχομένους ὑπὲρ αὐτοῦ [30]), ὅταν, ὡς ἀνωτέρω εἴρηται, τὰ δεσμὰ ἐξέφυγε τοῦ Ἡρώδου, δι' Ἀγγέλου ἀπολυθεὶς. Ἡ δὲ οἰκία αὕτη κατάτινας [31]), μετοικοδομήθη ὕστερον εἰς τὸν Περίφημον Ναὸν τῆς Ἁγίας Σιών.

§ 191.

Ὁ Βαρώνιος [32]) ἐν τούτῳ (φησὶ) τῷ ἔτει συνελθόντες

[29]) Πράξ. ΙΒ'. 25.
[30]) Πράξ. ΙΒ'. 12. κξ.
[31]) Ὅρα Καλμέτην εἰς τὸ Λεξικὸν τῆς Γραφῆς, ἐν Λέξει VI. Ἰωάν. Μάρκ.
[32]) Ἐν τοῖς χρονικοῖς ἔτει μδ'. Ἀριθμ. 15 καὶ 16.

ἐν Ἱεροσολύμοις οἱ τοῦ Χριστοῦ Ἀπόστολοι, κατὰ συνεισφορὰν οἷον τινὰ, συνέταξαν τὸ παρὰ Λατίνοις λεγόμενον τῶν Ἀποστόλων Σύμβολον, ἐν μέρει ἑνὶ τῶν δώδεκα Ἄρθρων προθέμενος ἕκαστος. Ἀλλ' ὁ Λουκᾶς ἐν ταῖς πράξεσιν οὐδὲν τοιοῦτον ἀναφέρει· καὶ τοι τοῦτο ἐν Ἱστορίᾳ, εἴπερ ἄλλοτι, ἀναφέρεσθαι ἄξιον ἦν· οὐδὲ τῶν παλαιοτάτων ἄλλος οὐδείς· τοῦ γὰρ Συμβόλου τούτου οὐδεμία οὐδαμοῦ πρὸ τοῦ Δ'. αἰῶνος ἀπομνημόνευσις γίνεται· ὅθεν ὁ Ἐφέσου Μάρκος ἐν τῷ Φλωρεντινῷ Συλλόγῳ σοφῶς ἀπεκρίνατο: ἡμεῖς Σύμβολον Ἀποστολικὸν τοιοῦτον οὐκ ἴσμεν. ἐκ συνεισφορᾶς δηλαδὴ κατ' ἄνδρα συγκεκροτημένον. Ἴσως παρηνέχθησαν οἱ Δυτικοὶ εἰς τὴν τοιάυτην γνώμην ἀπὸ τοῦ Συμβόλου, ὅπερ τὸ γνώρισμα, καὶ τὸ οἷον Σύνθημα τοῦ χριστιανικοῦ θρησκεύματος παραδηλοῖ, εἰς τὴν λεγομένην Symbolam παρακρουσθέντες, ἥτις τὴν Συνεισφορὰν, ἐκ τῆς παρ' αὐτοῖς Διαλέκτου αἰνίττεται.

§ 192.

Σημειωτέον, ὅτι ἂν κατὰ τὴν Βαρωνίου γνώμην οἱ Ἀπόστολοι τὸν ἐνιαυτὸν τοῦτον ἐν Ἱεροσολύμοις διῆγον ἀσύστατον μὲν ῥητέον τὴν ἐν τῷ ἀνωτέρῳ ἔτει μγ'., κατὰ τὸν Εὐσέβιον, εἰς τὴν Ῥώμην τοῦ Πέτρου ἐπιδημίαν. δύσκολον δὲ καὶ τὴν ἐν τῷ αὐτῷ τούτῳ ἔτει μδ'. τοῦ ἐν Ῥώμῃ ἰδίου θρόνου θεμελίωσιν, ὡς ἕτεροι τῶν Δυτικῶν [33]) διατείνονται. Ἐκτὸς εἰμὴ, εἰς ἕνα καὶ τὸν αὐτὸν, ἐνιαυτὸν ὑπολάβῃ τις, ὅτι ὁ Πέτρος ἐν Ἱεροσολύμοις συνεκρότει τὸ Σύμβολον· καὶ ἅμα εὐπλοίας τυχὼν, καὶ

[33]) Φλεουρῖνος ἐν τῇ Ἐκκλ. Ἱστορ. Τόμ. Α. Βιβλ. Α. Ἀριθμ. 24.

διαπλέυτας ἕως Ἰταλίας ταχὺ τὸ μεσόγειον πέλαγος, καὶ καταλαβὼν ἐν ὀλίγῳ τὴν Ῥώμην, εὐθὺς καὶ ἀνεκάλυπτε, καὶ καθῄρει τὴν ἀπάτην τοῦ Μάγου Σίμωνος· καὶ κηρύξας δὲ καὶ τὸν Εὐαγγελικὸν λόγον ἐσυλαγώγησε πολλοὺς εἰς τὴν εἰς Χριστὸν πίστιν· ὥστε συσταθείσης οὕτως ἐν χρόνῳ βραχυτάτῳ τῆς ἐκεῖ Ἐκκλησίας, τὴν καθέδραν τὴν ἑαυτοῦ ἐστήριξεν. Ἀλλ' ὅτι ἂν καὶ ἔχῃτις νὰ ἀπαντήσῃ πρὰς ταῦτα, ἐκεῖνο σημειωθήτω, ὅτι κατὰ μὲν τὸν Εὐσέβιον[34]), ἐν τούτῳ τῳ μδ'. ἔτει ἀναγράφεται πρῶτος τῆς Ἀντιοχέων Ἐκκλησίας μετὰ Πέτρον Ἐπίσκοπος ὁ Εὐόδιος. Κατὰ δὲ τὸν Σύγκελλον[35]) πρὸ ἐνιαυτῶν τεσσάρων, ἤτοι ἐν ἔτει μ'. ὁ τοῦ Εὐοδίου προβιβασμὸς χρονολογεῖται.

§ 193.

Ἡρώδης ὁ Ἀγρίππας μετὰ τὴν μάτην ὑπ' αὐτοῦ γενομένην κάθειρξιν τοῦ Ἀποστόλου Πέτρου, κατελθὼν ἀπὸ τῆς Ἰουδαίας εἰς τὴν Καισάρειαν, ἐν ᾧ ἀργυρένδυτος δημηγορεῖ χρηματίζων πρὸς τοὺς Τυρίων τε καὶ Σιδονίων Πρέσβεις ἀπὸ τοῦ Βήματος, καὶ ὑπὸ τῶν περιστοιχούντων αὐτὸν κολάκων προσαγορεύεται Θεός: Θεοῦ φωνὴ, καὶ οὐκ ἀνθρώπου. Πατάσσεται παρευθὺς ὑπὸ Ἀγγέλου Κυρίου, καὶ γενόμενος σκωληκόβρωτος ἐλεεινῶς τὸ ζῆν μετ' οὐ πολὺ καταστρέφει[36]). Ὁ Ἰώσηπος ἱστορεῖ[37]) ὅτι κατ' αὐτὴν ἐκείνην τὴν ὥραν εἶδεν ὁ Ἀγγελόκρουστος αὐτὸς Βασιλεὺς ὑπὲρ αὐτοῦ ἱπτάμενον τὸν ὄρνιν Βύαν, τὸν ὁποῖον καὶ ἄλλοτε πρότερον εἶχεν ἰδεῖ, ὅταν δέσμιος

[34]) Ἐν τῷ χρονικῷ.
[35]) Ἐν τῇ χρονογραφίᾳ.
[36]) Πράξ. ΙΒ'. 19 — 23.
[37]) Ἀρχαιολ. Βιβλ. ΙΘ'. Κεφ. Ζ'.

ὑπὸ Τιβερίου ἐν Ῥώμῃ κατείχετο. Ἦν δὲ ἄρα προειρημένον αὐτῷ, ὅτι ἐὰν καὶ δεύτερον τὴν ὄψιν ἴδῃ τοῦ Βύου, τότε οὐδὲν ἀγαθὸν, ἀλλὰ τὸ πέρας τοῦ βίου αὐτὸν ἀπεκδέχεται.

ΕΤΟΣ ΜΕ'.

§ 194.

Βαρνάβας καὶ Παῦλος ἀφορισθέντες ὑπὸ τοῦ πνεύματος ἐκπέμπονται εἰς Σελεύκειαν, κἀκεῖθεν πλέουσιν εἰς Κύπρον· ὅπου, ἐν Σαλαμῖνι τὸν λόγον κηρύττοντες, ἔπειτα ἐν Πάφῳ, προσκαλοῦνται ἐκεῖ ὑπὸ Παύλου Σεργίου τοῦ Ἀνθυπάτου. Ἐν ᾧ δὲ τοῦτον οἱ Ἀπόστολοι κατηχοῦσι, ψευδοπροφήτης τις Ἰουδαῖος, παρὰ τῷ Ἀνθυπάτῳ διατρίβων, Βάρ-Ἰησοῦς καλούμενος, Ἐλύμας δὲ ἐπιλεγόμενος (τοῦτο δὲ τὸν Μάγον σημαίνει Ἀραβιστὶ) ἀνθίστατο εἰς τὴν τῶν Ἀποστόλων διδασκαλίαν, ζητῶν διαστρέψαι τὸν διδασκόμενον. Διὰ τοῦτο, καὶ υἱὸς διαβόλου, καὶ ἐχθρὸς ἁπάσης δικαιοσύνης ὑπὸ τοῦ Παύλου ὀνομασθεὶς καταδικάζεται ὁλοτελῆ τύφλωσιν. Ἐν ᾧ δὲ ὁ Ἐλύμας ὑστερεῖται τὸ φῶς, ὁ Ἀνθύπατος ἀνοίγει τοὺς ὀφθαλμοὺς τοὺς νοεροὺς εἰς τὴν ἔλλαμψιν τῆς πίστεως[1]). Ὁ Ὠριγένης[2]), καὶ ὁ θεῖος Χρυσόστομος[3]), καὶ ἄλλοι, παρέδωκαν, ὅτι καὶ ὁ Ἐλύμας αὐτὸς ἐπιστρέψας μετὰ τοῦτο, ἀπέλαβε σὺν τῷ φωτὶ τῷ πνευματικῷ καὶ τῷ σωματικῷ. Ἐσημειώθη δὲ, ὅτι τὸ ἀπὸ τούτου ἐφεξῆς ὁ ἕως τότε Σαῦλος, ὑπὸ τοῦ Ἱεροῦ Λουκᾶ ὀνομάζεται ἀείποτε Παῦλος.

[1]) Πράξ. ΙΓ'. 1 — 12.
[2]) Εἰς τὴν ἔξοδον, κατὰ τὴν Οὐετίου ἔκδοσιν Σιλ. 22. 23.
[3]) Εἰς τὰς Πράξεις Ὁμιλ. ΚΗ'.

Ὅθεν τινὲς [4]) κρίνουσιν, ὅτι ὁ Ἀνθύπατος εἰς δεῖγμα εὐγνωμοσύνης ἐχάρισε τῷ Ἀποστόλῳ τὸ ἴδιον αὐτοῦ ὄνομα.

§ 195.

Ἀπὸ τῆς Πάφου οἱ περὶ τὸν Παῦλον ἀνάγονται εἰς Πέργην τῆς Παμφυλίας· ἔνθα ἀπ' αὐτῶν Ἰωάννης ὁ ἐπικληθεὶς Μάρκος ἀποχωρεῖ [5]). Ἀπὸ δὲ Πέργης παραγίνονται εἰς Ἀντιόχειαν τῆς Πισιδίας· καὶ ἐκεῖ εὐαγγελίζονται τὴν Σωτήριον οἰκονομίαν πρῶτον τοῖς Ἰουδαίοις, ἔπειτα καὶ τοῖς ἐξ ἐθνῶν. Διὰ τοῦτο ὑπὸ τῶν Ἰουδαίων μεσηθέντες ἐξορίζονται· ὅθεν τὸν κονιορτὸν ἐκτιναξάμενοι ἐκ τῶν ποδῶν αὐτῶν, μεταβαίνουσιν ἐκεῖθεν εἰς Ἰκόνιον [6]). Κἀνταῦθα μὲν πολὺ πλῆθος καὶ ἐξ Ἰουδαίων, καὶ ἐξ Ἑλλήνων ἕλκουσιν εἰς τὴν πίστιν. Ἀλλὰ σχίσματος περὶ αὐτῶν ἐν τῷ πλήθει τῆς πόλεως γενομένου, καὶ ὑπὸ τῶν ἀπειθούντων ὑβρισθέντες καὶ λιθοβοληθέντες καταφεύγουσιν οἱ Ἀπόστολοι εἰς τὰς πόλεις τῆς Λυκαονίας Λύστραν, καὶ Δέρβην, καὶ τὴνπερίχωρον [7]). Ἐν δὲ Λύστρῳ ὁ Παῦλος διδάσκων, θεραπεύει τὸν ἐκ κοιλίας χωλόν. Διὸ οἱ ὄχλοι, νομίζοντες αὐτοὺς Θεοὺς Σωτηρίους εἶναι καὶ ἀλεξικάκους, εἰς Εὐεργεσίαν τῶν ἀνθρώπων ἀπ οὐρανοῦ καταβάντας· καὶ προθυμούμενοι νὰ προσφέρωσι πρὸς αὐτοὺς καὶ θυσίας, βλέπουσι τοὺς θεράποντας τοῦ Θεοῦ, φρίττοντας ἐπὶ τῷ τολμήματι τῆς ἀποθεώσεως· καὶ διδάσκονται παῤ αὐτῶν ὅτι ἄνθρωποι καὶ αὐτοὶ ὁμοιοπαθεῖς εἰσί· καὶ πρὸς ἐπίγνωσιν τοῦ ἑνὸς καὶ μόνου ἀληθινοῦ Θεοῦ χειραγωγοῦνται [8]).

[4]) Ἱερώνυμ. ἐν τῷ περὶ τῶν Ἐκκλησ. Συγγραφ. ὀνόματι Παῦλος.
[5]) Πράξ. ΙΓ'. 13.
[6]) Πράξ. ΙΓ'. 14 — 51.
[7]) Πράξ. ΙΔ'. 1 — 6.
[8]) Πράξ. ΙΔ'. 7 — 18.

ΕΤΟΣ Μξ'. Μζ'.

§ 196.

Ἀπὸ τῆς ἐν Πισιδίᾳ Ἀντιοχείας, καὶ Ἰκονίου Ἰουδαῖοι ἐλθόντες, παροξύνουσι κατὰ τῶν Ἀποστόλων τοὺς ἐν Λύστροις, οἵτινες λιθάσαντες τὸν Παῦλον, ἔσυρον ἔξω τῆς πόλεως νομίσαντες αὐτὸν τεθνάναι [9]). Ἀλλὰ Ῥώννυται θείᾳ δυνάμει ὁ εἰς θάνατον λιθασθεὶς, καὶ τῇ ἐπαύριον ἐξέρχεται σὺν τῷ Βαρνάβᾳ εἰς Δέρβην. Καὶ τοίνυν κηρύξαντες καὶ τοῖς ἐν Δέρβῃ τὸ Εὐαγγέλιον τῆς Σωτηρίας, καὶ ἱκανοὺς μαθητεύσαντες, ὑποστρέφουσι πάλιν εἰς ἃς καὶ πρότερον περιῆλθον πόλεις· ἐν αἷς, ἐπιστηρίζουσι μὲν τοὺς πεπιστευκότας, χειροτονοῦσι δὲ ἐν αὐτοῖς πρεσβυτέρους, συνιστῶσι δὲ προσευχαῖς καὶ νηστείαις τὰς φυτευθείσας ὑπ' αὐτῶν Ἐκκλησίας. Καὶ διελθόντες τὴν Πισιδίαν πόλιν καὶ Παμφυλίαν, κατέβησαν εἰς Ἀττάλειαν, κἀκεῖθεν τελευταῖον ἀπέπλευσαν εἰς Ἀντιόχειαν τῆς Συρίας ὅθεν ἐξ ἀρχῆς ἀποσταλέντες ἦσαν ὑπὸ τοῦ πνεύματος [10]). Ὅστις συλλογισθῇ τὰ ὑπὸ Παύλου καὶ Βαρνάβα κατὰ ταύτην τὴν Ἀποστολὴν διαπεπραγμένα δὲν ἔχει δυσκολίαν νὰ παρεκτείνῃ. εἰς τὰ δύο σημειωθέντα ἔτι μς'. καὶ μζ'. τὴν τοιαύτην περιήγησιν.

ΕΤΟΣ ΜΗ'.

§ 197.

Ἐπανελθόντες εἰς τὴν Ἀντιόχειαν τῆς Συρίας Βαρνάβας καὶ Παῦλος, ἀναγγέλλουσι τῇ ἐκεῖ Ἐκκλησίᾳ τὸν

[9]) Πράξ. ΙΔ'. 19.
[10]) Αὐτ. 20 — 26.

Εὐαγγελικῶν αὐτῶν καμάτωντε καὶ πόνων τοὺς καρποὺς, καὶ τὴν τῶν ἐθνικῶν εἰς τὴν Χριστοῦ πίστιν προσέλευσιν [11]). *Ἐν ᾧ δὲ ἦσαν χρόνον ἱκανὸν ἐκεῖ διατρίβοντες, ἰδοὺ στάσις οὐκ ὀλίγη, καὶ ταραχὴ μεταξὺ τῶν πιστῶν διεγείρεται. Τῆς δὲ στάσεως παραίτιοι ἐγένοντο ζηλωταί τινες ἀδιάκριτοι* [12]). *οἵτινες ἀρτίως ἐκ τῆς Ἰουδαίας κατελθόντες διϊσχυρίζοντο τὴν Μωσαϊκὴν περιτομὴν ἀναγκαίαν τε καὶ ὅλως ἀπαραίτητον τοῖς πιστεύουσιν εἶναι εἰς σωτηρίαν. Ὅθεν ὁ Παῦλος καὶ ὁ Βαρνάβας, παραλαβόντες εἰς τὴν Συνοδίαν αὐτῶν καὶ τὸν Τίτον* [13]), *ἔσπευδον εἰς Ἱεροσόλυμα ἀνελθεῖν, διὰ νὰ προβάλωσι πρὸς τοὺς ἐκεῖ Ἀποστόλους καὶ Πρεσβυτέρους, τὸ περὶ τῆς περιτομῆς τῶν ἐξ ἐθνῶν πιστευόντων κινηθὲν τοῦτο ζήτημα* [14]).

§ 198.

Κατ᾽ αὐτὸ τοῦτο τὸ ἔτος καὶ ἡ ἐν Ἱεροσολύμοις ταραχὴ συνέβη κατὰ τὴν ἑορτὴν τοῦ πάσχα, καὶ ὁ πολλοῦ πλήθους ἀνθρώπων ἐπισυμβὰς ὄλεθρος· ὅτε, Κουμανοῦ τοῦ τῆς Ἰουδαίας ὅλης ἡγεμονεύοντος, τὸ Ῥωμαίων στρατιωτικὸν εἰς τὴν Ἀντωνίαν καλουμένην Ἀκρόπολιν εἰσαγαγόντες, ὁ λαὸς καταφοβηθέντες, καὶ παμπληθεὶ ἀπὸ τοῦ Ναοῦ ἐκδραμόντες, οὕτως ἐστενοχωρήθησαν κατὰ τὰς Πύλας. ὥστε συμπατηθέντες ὑπ᾽ ἀλλήλων, ὑπὲρ τὰς τρεῖς μυριάδας διεφθάρησαν [15]).

---

[11]) *Πράξ. ΙΔ΄. 27 — 28.*
[12]) *Πρὸς Γαλάτας Β΄. 4.*
[13]) *Αὐτ. 1.*
[14]) *Πράξ. ΙΕ΄. 1 — 3.*
[15]) *Εὐσέβ. Ἐκκλ. Ἱστορ. Βιβλ. Β΄. Κεφ. ΙΘ΄. Καὶ ἐν τοῖς χρονικοῖς. Ἀλλ᾽ Ἰώσηπος. ἐν τῷ Β΄. τῆς Ἁλώσεως, λέγει ὑπὲρ τὴν μυριάδα μόνον Ἑ. δὲ τῷ Κ΄. τῆς Ἀρχαιολογίας, Μυριάδας δύο.*

ΕΤΟΣ ΜΘ΄.

§ 199.

Τὸ τρίτον ἤδη ὁ Παῦλος ἐπανέρχεται εἰς Ἱερουσαλήμ· μετὰ ἔτη δηλαδὴ δεκατέσσαρα [16]), *ἀπὸ τῆς κατὰ τὸ λς΄. ταχθείσης ἐπιστροφῆς αὐτοῦ Ἐκεῖ οὖν συνήχθησαν τότε οἱ Ἀπόστολοι καὶ οἱ Πρεσβύτεροι, καὶ τὴν πρώτην Ἐκκλησιαστικὴν συνεκρότησαν Σύνοδον* [17]). *Ἐν τῇ Συνόδῳ ταύτῃ προλογίσας ὁ Πέτρος, καὶ εἰπών· ὅτι τὰ ἔθνη τὰ διὰ στόματος αὐτοῦ ἀκούσαντα τὸν λόγον, καὶ πιστεύσαντα, ἐφάνησαν δεκτὰ τῷ Θεῷ· «ἐντεῦθεν ἐγνωμοδώτησε «μὴ δεῖν ἐπειθεῖναι ἐπὶ τὸν τράχηλον τῶν Μαθητῶν. «τὸν τῆς περιτομῆς ζυγόν. Μετὰ τὸν Πέτρον, Βαρνάβας «καὶ Παῦλος διεξηγήσαντο, ὅσα ἐποίησεν ὁ Θεὸς σημεῖα*

---

[16]) *Γαλάτ. Β΄. 1.*
[17]) *Δὲν ἀρέσκει εἰς τὸν Γερμανὸν Μοσχέμιον (ἐν τῇ Εἰσαγωγ. εἰς τὴν Ἐκκλ. Ἱστορ. Αἰῶνι Α΄. Μέρ. Β΄. Κεφ. Β. § XIV. Καὶ ἐν τῇ Σημειώσει (a). Τὸ ὄνομα τῆς Συνόδου, ἀποδιδόμενον εἰς τὴν ἐν Ἱεροσολήμοις ταύτην Συνέλευσιν. Ἡ Συνέλευσις ἐκείνη (λέγει) ἦτον μιᾶς μόνης Ἐκκλησίας Συνάθροισις. Ἀλλ᾽ ἡ Σύνοδος ὑποθέτει (φησὶ) τὸ ἄθροισμα τῶν διαπρεσβευομένων ὡς ἐκ πολλῶν Ἐκκλησιῶν πρὸς ἀλλήλας κοινωνησῶν. Εἰς ταῦτα ἔχοι ἄντις ἀποκριθῆναι, ὅτι ὅσαι πιστῶν οἰκίαι, καὶ ὅσα συστήματα τῶν εἴτε ἐκ περιτομῆς, εἴτε ἐξ ἐθνῶν. κατά τε τὴν Ἱερουσαλὴμ, καὶ τὴν Ἀντιόχειαν, καὶ τὰς ἄλλας τὰς ἐν Ἰουδαίᾳ, καὶ Συρίᾳ καὶ ἀλλαχοῦ πόλεις, παραδεξομένων τοτε τὸν τοῦ Εὐαγγελίου λόγον, θεωροῦνται ὡς τόσαι, καὶ τοι μικραὶ καὶ νεοσύλλεκτοι Ἐκκλησίαι. Ποιμένες δὲ τούτων, καὶ διαπρεσβευταὶ ὡς ἐξ αὐτῶν ἦσαν οἱ Ἀπόστολοι, καὶ Μαθηταὶ, καὶ τοῦ λόγου κήρυκες, οἱ ταύτας συστήσαντες καὶ διὰ τῆς διδασκαλίας, καὶ διὰ τῆς τῶν σημείων δυνάμεως. Καὶ ἡ ὑπόθεσις δὲ δὲ ἣν συνεκροτήθη τούτων ἡ ἄθροισις, ἦν οὐσιωδῶς ἀφορῶσα ἐν γένει καὶ καθόλου πάντα τὸν χριστιανισμόν. Καὶ ἡ σκέψις δὲ, καὶ ἡ γνωμοδοσία, καὶ ἡ κοινὴ βουλὴ, καὶ ὁ τρόπος τῆς ἐκφράσεως τοῦ ψηφίσματο τοῦ ἐκδοθέντος, πάντα παριστῶσι κυρίαντε καὶ ἀληθῆ Σύνοδον. Πλὴν τοῦτο εἶναι τελευταῖον ἕνα ζήτημα ὀνομαστικόν· καὶ ἴσως τὸ ἐκίνησεν ὁ κινήσας, διὰ νὰ φανῇ ὅτι προβάλλει τι δῆθεν νεώτερον.*

SISMANOGLIO MEGARO

«καὶ τέρατα ἐν τοῖς ἔθνεσι δι' αὐτῶν.» Μετὰ τούτους Ἰάκωβος, ὁ τῶν Ἱεροσολύμων τὸν θρόνον πεπιστευμένος παραστήσας ἐκ τῶν Προφητικῶν λογίων, ὅτι ὁ Θεὸς «ἐπεσκέψατο καὶ τῶν ἐθνῶν· ἐγὼ (εἶπε) κρίνω, μὴ παρε-«νοχλεῖν τοῖς ἀπὸ τῶν ἐθνῶν ἐπιστρέφουσι· καὶ Ἱκανὸν «εἶναι ἐνόμισε, τὸ ἀπέχεσθαι ἀπὸ τῶν ἀλισγημάτων τῶν «εἰδώλων, καὶ τῆς πορνείας, καὶ τοῦ πνικτοῦ, καὶ τοῦ «αἵματος.» Ταῦτα ἐπεκύρωσαν ἅπαντες οἱ Ἀπόστολοι, καὶ οἱ Πρεσβύτεροι, καὶ οἱ Ἀδελφοί. ὅθεν ἀπεφάσισαν ὁμοφρόνως, καὶ ἔπεμψαν σὺν τῷ Παύλῳ καὶ τῷ Βαρνάβᾳ, Ἰούδαν τε τὸν ἐπικαλούμενον Βαρσαβᾶν, καὶ Σίλαν, γράψαντες κοινῶς δι' αὐτῶν τοῖς κατὰ τὴν Ἀντιόχειαν, καὶ Συρίαν, καὶ Κιλικίαν Ἀδελφοῖς τοῖς ἐξ Ἐθνῶν, τὴν Συνοδικὴν ταύτην ψῆφον. «Ἔδοξε τῷ Ἁγίῳ πνεύ-«ματι καὶ ἡμῖν, μηδὲν πλέον ἐπιτίθεσθαι ὑμῖν βάρος, «πλὴν τῶν ἐπάναγκες τούτων· ἀπέχεσθαι εἰδωλοθύτων, «καὶ αἵματος, καὶ πνικτοῦ, καὶ πορνείας [18]).

§ 200.

Ὁ Παῦλος καὶ ὁ Βαρνάβας, μετά τινα διατριβὴν ἐν Ἀντιοχείᾳ, ἐδιώρισαν νὰ περιέλθωσιν εἰς ἐπίσκεψιν τῶν προκατηχηθέντων αὐτοῖς ἐθνῶν, ἐπειδὴ δὲ συνέβη τις παροξυσμὸς περὶ τοῦ προαποστάντος ἀπ' αὐτῶν κατὰ τὴν Παμφυλίαν, Ἰωάνου τοῦ Μάρκου, ὃν ὁ μὲν Βαρνάβας ἤθελε πάλιν αὐτὸν συνοδοιπόρον, ὁ δὲ Παῦλος οὔ· διὰ τοῦτο ἐχωρίσθησαν ἀπ' ἀλλήλων, καὶ ὁ μὲν, μετὰ τοῦ ῥηθέντος Ἰωάννου ἐξέπλευσεν εἰς Κύπρον ὁ Βαρ-

[18]) Πράξ. ΙΕ'. 6 — 29.

νάβας· ὁ δὲ Παῦλος ἐπιλεξάμενος Σίλαν, διήρχετο τὴν Συρίαν καὶ Κιλικίαν ἐπιστηρίζων τὰ ἐκκλησίας [19]).

§ 201.

Τότε προσφυέστατα πίπτει καὶ ἡ παρουσία τοῦ Πέτρου ἐν Ἀντιοχείᾳ, ὅτε τοῦτον ὁ Παῦλος, τὴν μετὰ τῶν ἐξ ἐθνῶν ἀναστροφὴν ἀποκλίνοντα, διὰ τὸν τῶν ἐν περιτομῆς φόβον· καὶ οὐχὶ καλὸν παράδειγμα τοῖς λοιποῖς Ἰουδαίοις, καὶ αὐτῷ δὴ τῷ Βαρνάβᾳ γινόμενον, «ἀντέστη «κατὰ πρόσωπον αὐτῷ ὡς κατεγνωσμένῳ, ἐλέγξας ἔμπροσθεν πάντων [20]). Τὸ τοιοῦτον ἄλλοτε νὰ χρονολογηθῇ πιθανῶς, δὲν εἶναι τρόπος· οὔτε πρότερον· δηλ, πρὸ τῆς ἐν Ἱεροσολύμοις Συνόδου· οὔτε ὕστερον· ἀφ' οὗ Παῦλος καὶ Βαρνάβας ἀπ' ἀλλήλων ἀπεχωρίσθησαν.

ΕΤΟΣ Ν'.

§ 202.

Εἰς Δέρβην ὁ Παῦλος μετὰ Σίλα καταντήσας, εἶτα εἰς Λύστραν, παρέλαβεν ἐκεῖ μεθ' ἑαυτοῦ τὸν νέον Τιμόθεον, ὅν, καὶ ὡς υἱὸν ὄντα Ἰουδαίας μὲν μητρὸς, ὀνόματι Εὐνίκης [1]), πατρὸς δὲ Ἕλληνος, διὰ τοὺς ἐν ἐκείνοις τοῖς τόποις Ἰουδαίους περιέτεμεν· [2]) ἵνα μὴ πάντως τοῦτο κώλυμα εἴη πρὸς τὸ κήρυγμα. Οὕτω τοῖς Ἰουδαίοις ἦν ὡς Ἰουδαῖος γενόμενος, ἵνα τοὺς Ἰουδαίους κερδήσῃ· [3]) ὅπερ οὐκ ἄνευ Θείου νεύματος ἐκεῖνον ποιῆσαι, ὁ Θεῖος

[19]) Πράξ. ΙΕ'. 35 — 41.
[20]) Γαλάτ. Β'. 11 — 14·
[1]) Β'. πρὸς μΤιόθ. Α'. 5.
[2]) Πράξ Ις'. 1 — 3.
[3]) Α'. Κορινθ. Θ' 20.

φησὶ Χρυσόστομος [4]). Ἐκεῖθεν οὖν τὴν Φρυγίαν διελθόντες, καὶ τὴν Γαλατικὴν χώραν, εἶτα τὴν Μυσίαν, κατέβησαν εἰς Τρῳάδα. Ἐνταῦθα δὲ, διὰ νυκτὸς ὅραμα ὁ Παῦλος ἰδὼν, ἄνδρα Μακεδόνα ἑστῶτα, καὶ παρακαλοῦντα αὐτὸν διελθεῖν εἰς Μακεδονίαν πρὸς βοήθειαν τῶν ἐκεῖ, πειθαρχήσας τῇ προσκλήσει τοῦ πνεύματος ἐπεχειρίσθη τὸν πλοῦν. Τὸ δ' ἀπ' ἐντεῦθεν φαίνεται ὅτι καὶ ὁ Λουκᾶς ἤρξατο τοῦ Παύλου συνοδοιπόρος γίνεσθαι καὶ συνέκδημος. Ἐπειδὴ ἀπὸ τοῦ νῦν εἰς τὸ ἑξῆς, κακαθιστορῶν ἡμῖν οὗτος τὰς πράξεις, ὡς παρόντα συχνὰ καὶ ἑαυτὸν παρισάγει τοῖς πράγμασι, καὶ συμπεριϊόντα συνάμα τοῖς περὶ τὸν Παῦλον, ὡς δῆλον ἐκ τῆς πρωτοπροσωπίας τῆς διηγήσεως [5]).

§ 203.

Ἔπλευσαν τοίνυν ἀπὸ Τρῳάδος εἰς Σαμοθράκην· ἐκεῖθεν τῇ ἐφεξῆς, εἰς Νεάπολιν τῆς Μακεδονίας. Ἐκεῖθεν εἰς Φιλίππους, ὅπου καὶ διέτριψαν ἡμέρας τινὰς. Ἔνθα, ἡ μὲν Λυδία ἡ πορφυρόπωλις ἀκούσασα τὸν λόγον ἐπίστευσε, καὶ ἐβαπτίσθη· ἡ δὲ παιδίσκη ἡ τὸ πνεῦμα τοῦ πύθονος ἔχουσα, ἀπὸτοῦ ἐνοχλοῦντος ἐκείνου πνεύματος ἀπελυτρώθη. Ἀλλ' ἐνταῦθα Παῦλος καὶ Σίλας, ὡς δῆθεν Ἰουδαῖοι ὄντες καὶ ταραξίαι, συλληφθέντες, ῥαβδισθέντες, φυλακισθέντες· καὶ (ἐπειδὴ διὰ σεισμοῦ φοβεροῦ ἀνοιχθέντος αὐτοῖς τοῦ δεσμωτηρίου, καὶ τῶν δεσμῶν ἀνεθέντων, δέν ἔφυγον·) τὸν ἑαυτῶν δεσμοφύλακα καταιδέσαντες, κατηχήσαντες, πανοικὶ βαπτίσαντες· τέως

[4]) Ὁμιλ. Ε'. εἰς τὴν Α'. πρὸς Τιμόθ.
[5]) Πράξ. Ις'. 6 — 10.

παρεκλήθησαν ἐξελθεῖν τῆς πόλεως· ἐξῆλθον ὅμως ἀποκλαιόμενοι, ὅτι ἀκατακρίτως ταῦτα ἔπαθον Ῥωμαῖοι ὑπάρχοντες· ὅπερ καὶ τοὺς στρατηγοὺς συνέστειλέ τε καὶ κατεφόβισεν, ἀκούσαντας ὅτι Ῥωμαῖοι εἰσὶν [6]).

§ 204.

Ἀπὸ Φιλίππων διοδεύσαντες τὴν Ἀμφίπολιν καὶ Ἀπολλωνίαν, ἦλθον εἰς Θεσσαλονίκην· ὅπου πολλοὺς ὁ Παῦλος εἵλκυσεν εἰς τὴν τοῦ κηρύγματος πίστιν, καὶ μάλιστα τῶν Ἑλλήνων· καί τινας ἔτι τῶν ἐγκρίτων γυναικῶν. Ἀλλ' ὑπὸ τῶν ἀπειθούντων Ἰουδαίων συνεταράχθη κατὰ τῶν Ἀποστόλων ὁ τῆς πόλεως ὄχλος, καὶ συνδραμόντες εἰς τὸν οἶκον τινὸς Ἰάσωνος, (νομίζουσι τινὲς, ὅτι οὗτος ἦν ὁ τοῦ Παῦλου συγγενὴς [7]) παρ' ᾧ ἐξενοδοχοῦντο, ἐπειδὴ τοὺς Ἀποστόλους οὐχ εὗρον, ἔσυρον τὸν ξενοδοχήσαντα, καί τιναστῶν Ἀδελφῶν, πρὸς τοὺς Πολιτάρχας. Ἀλλ' οἵτοι, τὸ ἱκανὸν λαβόντες παρὰ τοῦ Ἰάσωνος, ἀπέλυσαν αὐτούς [8]).

§ 205.

Ἐκ Θεσσαλονίκης Παῦλος καὶ Σίλας νυκτὸς ἐξελθόντες ἀπέρχονται εἰς Βέρροιαν· ὅπου ψυχὰς εὑρόντες πολὺ τῶν Θεσσαλονικέων εὐγενεστέρας, διδάσκουσιν εἰς τὴν Συναγωγὴν μετὰ πολλῆς καρποφορίας τὸν λόγον. Ἀλλ' ἐπειδὴ καὶ εἰς Βέρροιαν οἱ ἐκ Θεσσαλονίκης φθάσαντες ἐρέθιζον τοὺς ὄχλους κατὰ τοῦ Ἀποστόλου, ἠναγκάσθη

[6]) Πράξ. Ις'. 11 — 40.
[7]) Πρὸς Ῥωμ. Ις'. 21.
[8]) Πράξ. ΙΖ'. 1 — 9.

SISMANOGLIO MEGALE TOMARO

ἀφεὶς ἐκεῖ τὸν Σίλαν καὶ τὸν Τιμόθεον νὰ πλεύση αὐτὸς εἰς Ἀθήνας, ὅπου παραγενόμενος τούτους περιέμενεν [9]).

§ 206.

Ἐν Ἀθήναις ὁ Παῦλος, καὶ ἐν τῇ Συναγωγῇ πρὸς τοὺς Ἰουδαίους, καὶ κατ' ἀγορὰν πρὸς τοὺς ἐντυγχάνοντας διαλεγόμενος ἐγκαλεῖται ὑπὸ τῶν Ἐπικουρείων καὶ Στωϊκῶν Φιλοσόφων, κατηγορηθεὶς ὡς ξένων δαιμονίων καταγγελεύς. Παραστὰς δὲ, καὶ τὸ εἰς τὴν Ἀπολογίαν ἐνδόσιμον, ἐξ αὐτῆς τῆς πολυθέου δεισιδαιμονίας τῶν Ἀθηναίων λαβὼν, κηρύττει αὐτοῖς τὸν ἐπὶ πάντων ἕνα Θεὸν εὐαγγελιζόμενος, ἅμα καὶ τὴν ἐκ νεκρῶν ἐσομένην Ἀνάστασιν, καὶ τὴν μέλλουσαν κρίσιν. Ἐφ' οἷς, καὶ ὑπὸ τῶν Ἀρεοπαγιτῶν χλευασθεὶς, πρὸς τὸ παρὸν ἀπολύεται, ὀλίγους μόνον τινὰς ἐξ αὐτῶν πρὸς τὴν τῆς ἀληθείας ἐπίγνωσιν ὁδηγήσας· ἐν οἷς ἐπίσημοι ἦσαν, Διονύσιος ὁ Ἀρεοπαγίτης, καὶ γυνὴ ὀνόματι Δάμαρις [10]), ἡ ἐκείνου γαμετὴ ὡς ὑπὸ τινων [11]) εἴρηται. Τὸν Διονύσιον τοῦτον ἐπὶ πολὺ ἐκαυχήθησαν οἱ Γάλλοι, πρῶτον παὸ αὐτοῖς γενέσθαι τῆς πόλεως Παρισίων ἐπίσκοπον· καί τοι τέως, μετὰ πολλὰς καὶ περιττὰς συζητήσεις ἐγνώρισαν καὶ αὐτοὶ τὴν ἰδίαν περὶ τοῦτο ἐξαπάτησιν· ἐν δὲ τῇ καθ' ἡμᾶς Ἐκκλησίᾳ τὸν Ἀρεοπαγίτην Διονύσιον, πρῶτον Ἀθηνῶν ἐπίσκοπον ἀνέγραψεν ἡ παράδοσις [12]). Τὸν διὰ πυρὸς θάνατον κατὰ τὸ υιέ. ἢ υιϛ'. ἔτος, ἐν ταῖς Ἀθήναις ἀθλήσαντα.

[9]) Πράξ. ΙΖ'. 10 — 15.
[10]) Πράξ. ΙΖ'. 16 — 34.
[11]) Χρυσόστ. Βιβλ. Α'. περὶ Ἱερωσ. Κεφ. ζ'. καὶ Ἀστέριος Ὁμιλ. Η'.
[12]) Διονύσ. ὁ Κορίνθου Ἐπίσκοπος Ἐπιστ. πρὸς τοὺς Ἀθην. παῤ Εὐσέβ. ἐν τῇ Ἐκκλησ. Ἱστορ. Βιβλ. Γ'. Κεφ. Δ. Καὶ ἐν Βιβλ. Δ'. Κεφ. κγ'.

ΕΤΟΣ ΝΑ'. ΝΒ'.

§ 207.

Ἐξ Ἀθηνῶν ἀναχωρεῖ ὁ Παῦλος εἰς Κόρινθον, ὅπου συνοικίζεται μετὰ Ἀκύλλου, καὶ τῆς ἐκείνου συζύγου Πρισκύλλης, ὡς Σκηνοῤῥάφος τούτοις ὁμότεχνος. Καὶ ἐκεῖ αὐτὸν ἐκ Μακεδονίας ἐλθόντες Σίλας καὶ Τιμόφεος εὗρον [13]). Ἐν μιᾷ γοῦν τῶν ἡμερῶν, καθ' ἣν ὁ Ἀπόστολος διεμαρτύρετο τὸν Χριστὸν Ἰησοῦν, οἱ Ἰουδαῖοι παρεξηνέχθησαν εἰς φρικτὰς βλασφημίας· ὅθεν ἐκτιναξάμενος τὰ ἱμάτια αὐτοῦ, ἐξῆλθε τῆς Συναγωγῆς, καὶ εἰσέβη εἰς τὴν ἐγγὺς οὖσαν οἰκίαν, Ἰούστου τινὸς, ἀνδρὸς φιλοθέου. Ἔνθα δὴ Κρῖσπος ὁ Ἀρχισυνάγωγος, καὶ τῶν Κορινθίων πολλοὶ, ἐπίστευσάν τε καὶ ἐβαπτίσθησαν [14]). Ἐν Κορίνθῳ τοίνυν, δι' ὀπτασίας ἄνωθεν ἐνδυναμωθέντα, καὶ διὰ τοῦτο εἰς τὸ κήρυγμα ἐπιμένοντα· (ἐκάθισε γὰρ ἐνιαυτὸν ἐκεῖ, καὶ μῆνας ἓξ·) οἱ Ἰουδαῖοι ἐνάγουσι τὸν Ἀπόστολον πρὸς Γαλλίωνα τὸν Ἀνθύπατον· (ὁ δὲ Γαλλίων οὗτος, ἀδελφὸς ἦν τοῦ Φιλοσόφου Συνέκα.) Ἀλλ' ὑπὸ τοῦ Δικαστοῦ ἀπελαύνονται οἱ ἐνάγοντες, ὡς οὐχὶ περὶ ἀδικήματός τινος, ἢ ῥαδιουγήματος πρὸς αὐτὸν δικαζόμενοι, ἀλλὰ περὶ ζητήματος μηδὲν αὐτῷ διαφέροντος λογομαχοῦντες. Ὅθεν ὁ Παῦλος τινὰς ἡμέρας ἔτι προσμείνας, ἐξέπλευσεν εἰς τὴν Συρίαν· καὶ σὺν αὐτῷ ἅμα Ἀκύλας καὶ Πρίσκυλλα. Ὁ δὲ Ἀκύλας τότε ἐν Κεγχρεαῖς, (ὅπερ ἦν τῆς Κορίνθου ἐπίνειον.) ἐπλήρωσεν ἣν εἶχεν εὐχὴν,

[13]) Πράξ. ΙΗ'. 1 — 5.
[14]) Αὐτ. 5 — 8).

κειράμενος τῆς κεφαλῆς τὴν κόμην, ἣν τέως κατὰ τὴν τοῦ Ναζηραιάτου προθεσμίαν ἔτρεφεν [15]). Κατὰ ταύτην αὐτοῦ τὴν ἐν Κορίνθῳ διατριβὴν φαίνεται [16]) ὅτι ὁ Παῦλος ἔγραψε τήν τε Α΄. καὶ τὴν Β΄., τὰς πρὸς τοὺς Θεσσαλονικεῖς ἐπιστολάς. Τινὲς δὲ χρονολόγοι προστιθέασιν ἔτι καὶ τρίτην ἐπιστολὴν ἐν Κορίνθῳ ὑπὸ Παύλου γραφεῖσαν, τὴν πρὸς Γαλάτας. Ἀλλὰ περὶ ταύτης πολλὴ μεταξὺ τῶν συγγραφέων γίνεται ἡ διαμφισβήτησις.

§ 208.

Περὶ τοὺς αὐτοὺς τούτους χρόνους Κλαύδιος ὁ Αὐτοκράτωρ, ἔξωσεν ἀπὸ Ῥώμης τοὺς Ἰουδαίους ἅπαντας [17]). Τοῦτο δὲ, πότερον, διὰ τὸν ἐν ἔτει ΝΑ ἐπισυμβάντα ἐν Ῥώμῃ μέγαν λιμὸν; (ἄλλον τοῦτον λιμὸν, παρὰ τὸν ὑπὸ Ἀγάβου προειρημένον, καὶ κατ' ἀρχὰς τῆς Κλαυδίου βασιλείας γενόμενον) ἢ διὰ τὴν ἐπὶ Κουμανοῦ τοῦ ἡγεμονεύοντος τῆς Ἰουδαίας, κινηθεῖσαν ἐν Ἱεροσολύμοις στάσιν; ἀγνοεῖται τὸ ἀκριβές. Ὁ Σβετόνιος [18]) ἀποδίδει τὴν αἰτίαν τῆς ἐξώσεως εἰς τοὺς συνεχεῖς θορύβους τῶν φιλοταράχων Ἰουδαίων, κινουμένων ὑπὸ τινος Χρήστου. Τίς δὲ ἦν ὁ Χρῆστος οὗτος; οὐδεὶς βέβαια νοῦν ἔχων ὑπὸ τῷ ὀνόματι τούτῳ, τὸν πρᾷον καὶ ταπεινὸν τῇ καρδίᾳ Ἰησοῦν Χριστὸν ὑποπτεύσει, τὸν ἐπὶ Τιβερίου ὑπὸ

---

[15]) Αὐτ. 9 — 18.

[16]) Ἀγκαλὰ πρὸς τὸ τέλος τῶν δύο τούτων ἐπιστολῶν ἐπισεσημείωται, ὅτι ἐγράφησαν ἀπὸ Ἀθηνῶν, ὡς ἐν τοῖς ἐκδεδομένοις Κώδιξι τῆς Καινῆς Διαθήκης κοινῶς ἀναγινώσκομεν· ἀναμφίβολον ὅμως φαίνεται, ὅτι ἐγράφησαν ἀπὸ Κορίνθου· ὡς ἕκαστος πληρσφορεῖται. διὰ παραθέσεως τῆς Α. πρὸς θεσαλ. Κεφ. Α. 1 μετὰ τοῦ ΙΗ΄. Κεφ. 5 τῶν Πράξεων.

[17]) Πράξ. ΙΗ΄. 2.

[18]) Εἰς Κλάνδιον.

τῶν ἀγνωμόνων σταυρῷ παραδοθέντα πρὸ ἐνιαυτῶν ὀκτωκαίδεκα.

ΕΤΟΣ ΝΓ΄.

§ 209.

Πλεύσας ἀπὸ Κελχρεῶν ὁ Ἀπόστολος, κατέντησεν εἰς τὴν Ἔφεσον, ὅπου, καί τοι πολλὰ παρακαλούμενος, δὲν ἐνέδωκε νὰ ἀπομείνῃ, ὡς σπουδάζων εὑρεθῆναι κατὰ τὴν ἐρχομένην ἑορτὴν ἐν Ἱεροσολύμοις· ὑπεσχέθη δὲ ὅμως ὅτι μετὰ ταῦτα ἐκεῖθεν ἐπανελεύσεται [19]). Τοῦτο δὲ ὁ Παῦλος, ἀπὸ τῆς ἐπιστροφῆς αὐτοῦ, εἰς τὴν Ἱερουσαλὴμ ἐπορεύθη ἤδη τὸ τέταρτον. Ἀπὸ γοῦν Ἱερουσαλὴμ ἔπειτα ἀπῆλθεν εἰς Ἀντιόχειαν τῆς Συρίας· ἐντεῦθεν δὲ διῆλθε τὴν Γαλατικὴν χώραν, καὶ τὴν Φρυγίαν· [20]) ὅθεν τελευταῖον, κατὰ τὴν δοθεῖσαν ὑπόσχεσιν, ἐπανέκαμψεν εἰς Ἔφεσον.

§ 210.

Ἐν τούτῳ ὁ Ἀλέξανδρεὺς Ἀπολλὼς, ἀνὴρ λόγιος, καὶ περὶ τὰς γραφὰς ἔμπειρος, παῤῥησιαζόμενος ἐν τῇ Συναγωγῇ ὑπὲρ τοῦ Κυρίου, εἰ καί μόνον τὸ Ἰωάννου ἠπίστατο βάπτισμα, ἐκατηχήθη ὑπὸ τῶν ἐν Ἐφέσῳ μεινάντων ἀκολούθων τοῦ Παύλου Ἀκύλα τε καὶ Πρισκύλλης· καὶ διὰ συστατικῶν ἔπειτα γραμμάτων συνοδευθεὶς ἐκπέμπεται εἰς τὴν Ἀχαΐαν· ἔνθα δημοσίᾳ τοὺς ἰδίους ἀπελέγχων, διὰ τῶν γραφῶν ἐπεδείκνυεν, Ἰησοῦν εἶναι τὸν Χριστόν [21]). Τοιουτοτρόπως ὁ Ἀπολλὼς ἐν Κορίνθῳ ἐπότισε τὴν φυτείαν ἐκείνην, τὴν ὁποίαν πρὸ ἐκείνου ὁ Παῦλος ἐφύτευσεν [22]).

---

[19]) Πράξ. ΙΗ΄. 19 — 21.

[20]) Αὐτ. 22. 23.

[21]) Πράξ. ΙΗ΄. 24 — 28.

[22]) Α΄. πρὸς Κορινθ. Γ΄· 6.

SISMANOGLIO MEGARO

§ 211.

Ἐν ᾧ δὲ ὁ Παῦλος, καὶ οἱ λοιποὶ Ἀπόστολοι καὶ Μαθηταὶ περιήρχοντο διδάσκοντες τὴν τοῦ ἀληθινοῦ Θεοῦ ἐπίγνωσιν, ὁ πολέμιος ἀντιπαρεξῆγεν εἰς ἐπισύστασιν τῆς ἀσεβείας Ἀπολλώνιον τὸν Τυανέα· Ἄνδρα πολλὰ μὲν ἄλλως πλουτοῦντα καὶ φυσικὰ καὶ ἐπίκτητα προτερήματα, σοφιστικῶς δὲ ὅμως χώραν πᾶσαν καὶ Ἑλληνικὴν καὶ βάρβαρον ἐκπεριοδεύοντα, καὶ διὰ μυρίων μαγγανειῶν καὶ τερατευμάτων τοὺς λαοὺς ἐξαπατῶντα καὶ καταγοητεύοντα [23]). Ἀλλ' ἡ ἀπάτη καὶ γοητεία, συνάμα τῇ ζωῇ αὐτοῦ τοῦ ἀπατεῶνος καὶ γόητος συγκατελύθη, τοῦ ἐν ἔτει υιβ'. ἢ υιγ'. τὸ ζῆν καταστρέψαντος.

ΕΤΟΣ ΝΑ'.

§ 212.

Ἐπανελθὼν ὁ Παῦλος εἰς Ἔφεσον, καὶ εὑρών τινας τῶν Μαθητῶν ἐκεῖ, ὡσεὶ ἄνδρας δώδεκα, εἰς μόνον τὸ Ἰωάννου βάπτισμα, καὶ οὐδὲ εἰ πνεῦμα Ἅγιον ἐστὶν ἀκούσαντας, ἐβάπτισεν αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ, καὶ διὰ τῆς τῶν χειρῶν ἐπιθέσεως, μετέδωκεν αὐτοῖς καὶ τῆς πνευματικῆς χάριτος [24]). Ἐνταῦθα οὖν ἐδίδασκε μῆνας τρεῖς ἐν τῇ Συναγωγῇ παῤῥησιαζόμενος· [25]) ἀλλὰ διὰ τὴν πολλῶν ἔπειτα σκληροκαρδίαν τε καὶ ἀπείθειαν, ἀποχωρισθεὶς μετὰ τῶν περὶ αὐτὸν

---

[23]) Ὅρα Φιλόστρατον εἰς βίον Ἀπολλωνίου τοῦ Τυανέως Σοφιστικῶς κομψευόμενον. Καὶ ἅμα τὸν παμφίλου Εὐσέβιον, λήρους δεικνῦντα τὰ τοῦ Φιλοστράτου ὑπὲρ Ἀπολλωνίου κομφεύματα.

[24]) Πράξ. ΙΘ'. 1 — 7.

[25]) Ἀνὺτ. 8.)

μαθητῶν ἰδίᾳ, ἔστησε τὴν τῆς οὐρανίου διδασκαλίας Καθέδραν, ἐν τῇ σχολῇ Τυράννου τινὸς ὀνομαζομένου· (ἡ Συριακὴ ἑρμηνεία γράφει Τούρνου·) ἔνθα παρέτεινε διδάσκων ἐπὶ ἔτη δύο, καὶ πρός [26]) ὥστε τριετὴς σχεδὸν ἡ τοῦ Παύλου διατριβὴ αὕτη ἐν Ἐφέσῳ ἐγένετο [27]).

ΕΤΟΣ ΝΕ'.

§ 213.

Αἰγύπτιός τις ψευδοπροφήτης μετὰ τρισμυρίων ἐπαναστατῶν, ἀναβὰς εἰς τὸ ὄρος τῶν ἐλαιῶν, κἀκεῖθεν ὁρμήσας εἰς τὴν τῆς Ἱερουσαλὴμ ἐκπολιόρκησιν, ὑπὸ Φήλικος τοῦ ἀρτίως ἐπὶ τῆς Ἡγεμονίας διαδεξαμένου τὸν Κούμανον, μετὰ πολλῆς αἱματοχυσίας τρέπεται, καὶ μόλις αὐτὸς σὺν ὀλίγοις διασώζεται φεύγων [1]). Κατὰ τοὺς αὐτοὺς τούτους χρόνους, καὶ πολλοὶ ἄλλοι κινηθέντες ἀπατεῶνες εἷλκον τὸν λαὸν εἰς τὴν ἔρημον μετὰ διαφόρων τερατειῶν, τὴν ἀπολύτρωσιν αὐτοῖς ὑπισχνούμενοι. Καὶ ληστῶν δὲ πλῆθος, καὶ Σικαρίων, δι' ὧν ἐφόρουν ξιφιδίων τοῖς τυχοῦσιν ἐπεμβαίνοντες ἐξαίφνης, αἱμάτων φονικῶν τήν τε πόλιν αὐτὴν, καὶ τὴν Ἰουδαίαν πᾶσαν ἐνέπλησαν· ὥστε καὶ αὐτὸν τὸν Ἀρχιερέα Ἰωνάθην ἀπέκτειναν. Καὶ ἦν τὰ πάντα ἐν Ἱερουσαλὴμ ὑπὸ στασιασμῶν ἀλλεπαλλήλων ἄνω καὶ κάτω φερόμενα. Τότε δὲ [2]) καὶ ὁ ἐν Καισαρίᾳ τῇ λεγομένῃ τοῦ Στράτωνος,

---

[26]) Αὐτ. 9.)

[27]) Πράξ. Κ'. 31.

[1]) Εὐσεβ. ἐν τοῖς χρονικοῖς. Καὶ Ἐκλησ. Ἱστορ. Βιβλ. Β'. Κεφ. κδ'. ἐξ Ἰωσήπου ἐν τοῖς περὶ Ἀλλώσ. Βιβλ. Β'. Κεφ. κγ'.

[2]) Ἐν τῷ ἐφεξῆς ἔτει Νς'. ὅπερ ἦν τὸ πρῶτον τῆς τοῦ Νέρωνος Αὐταρχίας, κατ' Εὐσέβιον ἐν τοῖς χρονικοῖς.

μεταξὺ Ἰουδαίων τε καὶ ἐθνικῶν αἱματώδης ἐκινήθη διαξιφισμὸς, ἐν ᾧ πάμπολλοι ἑκατέρωθεν διεφθάρησαν[3]).

ΕΤΟΣ Νς'.

§ 214.

Πολλοὶ θέλουσιν ὅτι ἐν τούτῳ τῷ ἔτει ἔγραψεν ὁ Παῦλος τὴν Α'. πρὸς Κορινθίους ἐπιστολὴν, ἀποκρινόμενος εἰς ἃ παρ' ἐκείνων ἔλαβε γράμματα·[4]) ἔχων δὲ σκοπὸν διελθεῖν τὴν Μακεδονίαν καὶ τὴν Ἀχαΐαν προέπεμψε μὲν ἐκεῖ δύο τῶν αὐτῷ διακονούντων, Τιμόθεόν τε καὶ Ἔραστον· αὐτὸς δὲ τέως διέτριβεν εἰς τὴν Ἀσίαν[5]) μένειν μελετῶν ἐν Ἐφέσῳ ἕως τῆς πεντηκοστῆς· ἕως οὗ ἐπιστρέψας ὁ Τίτος ἀναγγείλῃ αὐτῷ τὰ περὶ τῶν Κορινθίων, εἰς οὓς αὐτὸς λογίας χάριν, τουτέστι πρὸς συλλογὴν ἐλεημοσύνης προεξαπέστειλεν[6]).

§ 215.

Μεταξὺ τούτου ἡ Σωτήριος διδασκαλία εἰς τὰς ἀκοὰς τῶν Ἀσιανῶν Ἰουδαίων τε καὶ Ἑλλήνων δαψιλῶς διεσπείρετο. Αἱ δυνάμεις καὶ αἱ Ἰάσεις, αἱ διὰ τῶν χειρῶν τοῦ Παύλου, ἐπληθύνοντο. Καὶ αὐτὰ τὰ τοῦ Ἀποστόλου Σουδάρια, καὶ τὰ Σιμικίνθια προσαπτόμενα, τῶν καμνόντων ἔλυον τὰ νοσήματα. Καὶ αὐτὸ τὸ τοῦ Ἰησοῦ ὄνομα, ὃν ὁ Παῦλος ἐκήρυττεν, ὑπὸ τῶν τυχόντων ἐξορκιστῶν (οἷον ὑπὸ τῶν ἑπτὰ υἱῶν τοῦ Ἀρχιερέως Σκευᾶ) ἁπλῶς προφερόμενον, ἠνάγκαζε τὰ πονηρὰ πνεύματα νὰ ὁμολογήσουν μετὰ τοῦ κηρυττομένου Σωτῆρος,

[3]) Ὅρα Ἰώσηπ. ἐντοῖς περὶ Ἀρχαιολ. Βιβλ. Κ'. Κεφ. ς'.
[4]) Α'. Κορινθ. Ζ'. 1.
[5]) Πράξ. ΙΘ'. 21. 22.
[6]) Α'. Κορινθ. Ις'. 1 — 8. Καὶ Β'. Κορινθ. Η'. 6.

καὶ τὸν Ἀπόστολον τὸν κηρύττοντα· οἱ Ἐφέσιοι, Ἰουδαῖοι τε καὶ ἐθνικοὶ ἐξιστάμενοι φρίττουσι· πολλοὶ μετανοοῦσι καὶ ἐξομολογοῦνται τὰ ἴδια ἁμαρτήματα. Ὁ Ἰουδαϊσμὸς, καὶ ἡ εἰδωλομανία κατ' ὀλίγον ὀλίγον καθαιρεῖται· ὥστε ὁ Ἀπόστολος καὶ ἄλλας ἤδη Εὐαγγελικὰς περιηγήσεις πορρώτερω κατὰ νοῦν διατίθεται. Ὅταν ὁ ἐν Ἐφέσῳ Ἀργυροκόπος Δημήτριος, αἰσθανόμενος τὴν ἔλλειψιν τοῦ κέρδους, τοῦ διὰ τῶν ἀργυρῶν Ναΐσκων τῆς Ἀρτέμιδος, οὓς αὐτὸς μὲν ἐχρυσοχόει πρὸς πορισμὸν, οἱ δέ πεπλανημένοι λαοὶ εὐλαβείας χάριν ἐνθύμως ἠγόραζον, διήγειρε τοὺς ὁμοτέχνους καὶ συνεργάτας αὐτοῦ χρυσοχόους εἰς τὴν φοβερὰν ἐκείνην ἐν Ἐφέσῳ στάσιν, ἣν μόλις ἡ τοῦ Γραμματέως συνετὴ δημηγορία κατέστειλεν[7]).

§ 216.

Διὰ τὴν γενομένην δημηγερσίαν ταύτην ἀπάρας ἐξ Ἐφέσου ὁ Παῦλος ἀπέρχεται εἰς Τρῳάδα, ὅπου καὶ τὸν Τίτον πάλιν εὑρεῖν ἤλπιζεν[8]). Ἀποτυχὼν δὲ, μεταβαίνει εἰς Μακεδονίαν, κἀκεῖσε αὐτὸν εὑρὼν καὶ τὰ τῆς Κορίνθου μαθὼν[9]) τὴν πρὸς Κορινθίους Β'. ἐκεῖθεν (ἣν ἀπὸ Φιλίππων ἐπιγράφουσι·) μετ' οὐ πολὺ τῆς Α'. ὕστερον ἐπιστέλλει· πιθανὸν κατά τινας, ὅτι τότε, καὶ ἕως εἰς τὸ Ἰλλυρικὸν ἐκ τῆς Μακεδονίας ἐξέδραμεν ὁ Ἀπόστολος[10]). Διελθὼν οὖν τὰ μέρη ἐκεῖνα, ἔφθασεν εἰς τὴν Ἑλλάδα, ἔνθα διέτριψε μῆνας τρεῖς[11]) παραχειμάσας εἰς Κόρινθον[12]).

[7]) Πράξ. ΙΘ'. 10 — 40.
[8]) Πράξ. Κ'. 1. Καὶ Β'. Κορινθ. Β'. 12 13.
[9]) Β'. Κορινθ. Ζ'. 6. 7.
[10]) Πρὸς Ῥωμ. ΙΕ'. 19.
[11]) Πράξ. Κ'. 2. 3.
[12]) Α'. Κορινθ. Ις'. 6.

ΕΤΟΣ ΛΔ.

§ 217.

Κατ' ἀρχὰς τοῦ ἐνιαυτοῦ τούτου, ἔγραψεν ὁ Παῦλος τὴν πρὸς Ῥωμαίους ἐπιστολὴν, ἐν ᾧ ἤδη ἑτοίμως εἶχεν ἀπὸ Κορίνθου πλεῦσαι εἰς Ἱεροσόλυμα [13]). *Γνοὺς δὲ τὴν τῶν Ἰουδαίων ἐπιβουλὴν κατ' αὐτοῦ ἀρτύοντας διὰ θαλάσσης, μεταβαλὼν γνώμην, ὑπέστρεψε διὰ Μακεδονίας. ὅθεν ἀπὸ Φιλίππων ἀπελθὼν εἰς Τρῳάδα, καὶ τοὺς ἐκεῖ μαθητὰς ἐν μιᾷ τῶν Σαββάτων εἰς μάκρος διδάσκων, τὸν ἐπὶ τῇ ἀκροάσει ἀπονυστάξαντα Νεανίαν Εὔτυχον, ἀπὸ τοῦ Τριστέγου κάτω πεσόντα, καὶ νεκρωθέντα, εἰς ζωὴν πάλιν ἀποκατέστησεν* [14]).

§ 218.

Ἐκ τῆς Τρωάδος πεζεύσας εἰς Ἄσσον (μικρὸν Τρῳϊκὸν πολισμάτιον, ἔπλευσε διὰ Μιτυλήνης, καὶ Χίου, καὶ Σάμου εἰς Μίλητον πόλιν τῆς Ἰωνίας· ἔνθα μεταπεμψάμενος ἐξ Ἐφέσου τοὺς πρεσβυτέρους τῆς Ἐκκλησίας· (οὐ γὰρ ἔκρινε χρονοτριβῆσαι ἐν τῇ Ἀσίᾳ, σπεύδων εἰς Ἱεροσόλυμα γενέσθαι τὴν ἡμέραν τῆς πεντηκοστῆς·) καὶ πολλὰ αὐτοὺς ὑπομνήσας, διαμαρτυράμενος προειπὼν, παραινέσας, στηρίξας, τῷ Θεῷ παραθέμενος, καὶ τὸ ἔσχατον ἀσπασάμενος· [15]) *διὰ Κώου, καὶ Ῥόδου, καὶ Πατάρων κατήχθη εἰς Τύρον· κἀκεῖθεν εἰς Πτολεμαΐδα· ὅθεν εἰς Καισάρειαν μετὰ τῶν συνοδοιπόρων αὐτοῦ καταντήσας,*

---

[13]) *Πρὸς Ῥωμ. ΙΕ'. 25.*
[14]) *Πράξ. Κ'. 3 — 12.*
[15]) *Πράξ. Κ'. 13 — 38.*

κατέλυσαν ἐκεῖ παρὰ Φιλίππῳ τῷ Εὐαγγελιστῇ, ἑνὶ τῶν ἑπτὰ Διακόνων, ἐν ᾧ ἦσαν θυγατέρες τέσσαρες παρθενεύουσαί τε καὶ προφητεύουσαι. Ἐνταῦθα Ἄγαβος, ὁ πρὸ δεκατεσσάρων σχεδὸν ἐνιαυτῶν τὸν ἐσόμενον προκαταγγείλας λιμὸν, κατελθὼν ἔνθα κατέμενεν ὁ Παῦλος, καὶ διὰ τῆς τούτου ἣν ἔφερεν ἰδίας ζώνης δήσας αὐτοῦ χεῖρας καὶ πόδας, προεφήτευσεν αὐτῷ τὰ μέλλοντα ἐν Ἱεροσολύμοις δεσμά. Ἀλλ' ὁ Ἀπόστολος ἑτοίμως ἔχων ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου, οὐ μόνον δεθῆναι ἀλλὰ καὶ ἀποθανεῖν, ἀνέβη μετὰ τῶν περὶ αὐτὸν εἰς Ἱεροσόλυμα, ὅπου ἀσμένως αὐτοὺς οἱ Ἀδελφοὶ ἀπεδέξαντο [16]). *Τοῦτο πέμπτον ὁ Παῦλος εἰς Ἱερουσαλὴμ ἐπεδήμησε, μετὰ τὴν αὐτοῦ ἐπιστοφήν.*

ΕΤΟΣ ΝΗ'. ΝΘ'.

§ 219.

Ἐν Ἱερουσαλὴμ ὁ Παῦλος διατρίβων, διηγεῖται Ἰακώβῳ τῷ τὴν ἐκεῖ Ἐκκλησίαν διέποντι, καὶ πᾶσι τοῖς πρεσβυτέροις, ὅσα ὁ Θεὸς ἐποίησε τοῖς ἔθνεσι διὰ τῆς διακονίας αὐτοῦ. Οἱ δὲ, τὸν Κύριον ἐπὶ τούτοις δοξάσαντες, ἵνα μὴ ἐπ' αὐτῷ σκανδαλισθῶσι τὰ πλήθη τῶν ἐκ περιτομῆς χριστιανισάντων, συμβουλεύουσι τὸ νὰ ἀφαγνιθῇ καὶ αὐτὸς ἅμα μετὰ τεσσάρων, ὅιτινες ἔμελλον νὰ ἀποδώσουν τὴν τῆς Ναζηρείας εὐχήν· μάλιστα δὲ καὶ αὐτὸς ὑπὲρ ἐκείνων νὰ πληρώσῃ καὶ τῆς τελετῆς τὸ δαπάνημα· ὑπήκουσεν οὖν εἰς ταῦτα ὁ Παῦλος· Ἀλλ' ἐν ᾧ ἐπληροῦντο αἱ ἡμέραι τοῦ ἀφαγνισμοῦ, θεασάμενοι

---

[16]) *Πράξ. ΚΑ'. 1 — 16.*

SISMANOGLIO MEGARO

αὐτὸν οἱ ἐκ τῆς Ἀσίας Ἰουδαῖοι, κινοῦσι κατ' αὐτοῦ τὸν ὄχλον, ὡς κατὰ λυμεῶνος τοῦ λαοῦ, καὶ ἀνατροπέως τοῦ νόμου· καὶ τοῦ Ἱεροῦ ἐξέλκοντες βίᾳ, ἤθελον αὐτὸν ἀποκτεῖναι, ἄν δὲν ἐξήρπαζεν αὐτὸν ἐκ τῶν ἐκείνων χειρῶν ὁ χιλίαρχος, Κλαύδιος ὁ Λυσίας· ὅστις ἀκούσας τὸν Παῦλον ἑλληνίζοντα τὴν φωνὴν, ἠρώτησεν αὐτὸν, ἂν ἐκεῖνος αὐτὸς εἶναι, ὁ πρὸ πολλοῦ ἀναστατώσας τὴν Αἴγυπτον· [17]) ὁ δὲ Παῦλος ἀπεκρίνατο, ὅτι τὸ μὲν γένος εἶναι Ἰουδαῖος, τὴν δὲ πατρίδα Ταρσεύς· ζητήσας δὲ ἄδειαν νὰ λαλήσῃ πρὸς τὸν λαὸν, καὶ ἐπιτραπεὶς [18]), ἀπολογεῖται Ἑβραϊστὶ· παραστήσας ἐπ' ἀκριβὲς καὶ γένος ἑαυτοῦ, καὶ ἀνατροφὴν; καὶ μαθητείαν τὴν παρὰ Γαμαλιὴλ; καὶ ζῆλον τὸν ὑπὲρ τοῦ Ἰουδαϊκοῦ νόμου, καὶ λύσαν τὴν κατὰ τῆς εἰς Χριστὸν πίστεως, καὶ τὰ παράδοξα τὰ ἐπ' αὐτῷ συμβάντα, καὶ τέως τὴν ἐπιστροφὴν αὐτοῦ καὶ τὴν θεοπτείαν, καὶ τὴν εἰς τὰ ἔθνη ἀποστολὴν, εἰς ἣν διωρίσθη ἄνωθεν [19]). Ἐν τούτῳ κραυγὴ καὶ θόρυβος τῶν Ἰουδαίων πολύς. Διὸ Παῦλος παραδίδοται εἰς τὸ ἐξετασθῆναι διὰ μαστίγων. Ἀλλὰ προβάλλων ὅτι Ῥωμαῖος ἐστὶ, λύεται μὲν τότε ἀπὸ τῶν δεσμῶν· τῇ ἐπαύριον δὲ, κελεύσει τοῦ χιλιάρχου, ἐνώπιον τῶν Ἀρχιερέων, καὶ παντὸς τοῦ συνεδρίου παρίσταται [20]).

§ 220.

Ἐν ᾧ παραστὰς ἀνοίγει πρὸς ἀπολογίαν τὸ στόμα,

[17]) Ὅρα Ἰώσηπ. Ἀρχαιολ. Βιβλ. Κ'. Κεφ. ς'. καὶ περὶ Ἀλώσ. Βιβλ. Β'. Κεφ. κγ'. Τὴν τοιαύτην δὲ ἐπανάστασιν Οὐσοΐριος χρονολογεῖ ἐν ἔτει ΝΕ'., ὡς καὶ ἡμεῖς αὐτὴν ἄνωτ. (§ 213). ὑπεθέμεθα· οἱ δὲ μικρὸν ἢ πρότερον, ἢ ὕστερον.

[18]) Πράξ. ΚΑ'. 18 — 40.

[19]) Πράξ. ΚΒ'. 1 — 21.

[20]) Αὐτ. 22 — 30.

Ἀνανίας ὁ Ἀρχιερεὺς ἐπέταξε τύπτειν αὐτοῦ τὸ στόμα· ὅθεν ὁ Ἀπόστολος ἐπιστρέψας: «τύπτειν σε (εἶπε) μέλλει ὁ Θεὸς, τοῖχε κεκονιαμένε.» Εἶτα ἐδικαιώθη: οὐκ ᾔδειν, ὅτι ἐστὶν Ἀρχιερεύς [21])· προσσθεὶς δὲ ὅτι «αὐτὸς φαρισαῖος υἱὸς φαρισαίου ἐστὶ, καὶ «περὶ ἐλπίδος, καὶ Ἀναστάσεως νεκρῶν κρίνεται·» στάσεως ἐκεῖ τότε γενομένης περὶ αὐτοῦ, μεταξὺ τῶν Φαρισαίων καὶ καὶ Σαδδουκαίων ἐκινδύνευσε δισπασθῆναι, εἰ μὴ προστάξει τοῦ χιλιάρχου ἐξηρπάζετο ἐκ μέσου αὐτῶν. Τῇ ἐπιούσῃ οὖν νυκτὶ ἐπιστὰς αὐτῷ ὁ Κύριος· θάρσει (εἶπε) Παῦλε· ὡς γὰρ διεμαρτύρω τὰ περὶ ἐμοῦ εἰς Ἱερουσαλὴμ, οὕτω σε δεῖ καὶ εἰς Ῥώμην μαρτυρῆσαι. Τότε ἄνδρες ἐπέκεινα τῶν τεσσαράκοντα συνομόσαντες ἀνεθεματίσθησαν, μηδενὸς γεύσασθαι, ἕως οὗ ἀποκτείνωσι τὸν Παῦλον. Ἀλλ' ὁ χιλίαρχος μαθὼν τὴν ἐπιβουλὴν, ἀπέσωσεν αὐτὸν διὰ νυκτὸς ἐκπέμψας εἰς Καισάρειαν, μετ' ἐπιστολῆς πρὸς τὸν ἐκεῖ Ἡγεμόνα Φήλικα· ὃς ἐρευνήσας τὸν ἄνδρα, καὶ μαθὼν ὅτι ἐκ Κιλικίας ἐστὶν, ἐκέλευσεν αὐτὸν ἐν τῷ Πραιτωρίῳ τοῦ Ἡρώδου φυλάττεσθαι, ἕως ἂν ἔλθωσι καὶ οἱ κατήγοροι αὐτοῦ [22]).

§ 221.

Μετὰ ἡμέρας πέντε κατέβησαν εἰς Καισάρειαν ὅτε Ἀρχιερεὺς καὶ οἱ Πρεσβύτεροι. ἔνθα ὑπὲρ μὲν τούτων ὁ Ῥήτωρ Τερύλλος κατὰ τοῦ Παύλου δημηγορεῖ, ὁ δὲ Παῦλος ὑπὲρ ἑαυτοῦ ἀπολογεῖται. Ὁ Φήλιξ ὅμως ἀναβάλλεται τὴν ψῆφον, ἕως οὗ ἐλθόντος καὶ τοῦ χιλιάρχου ἀνακρίνῃ

[21]) Πράξ. ΚΓ'. 1 — 5.

[22]) Αὐτ. 6 — 35.

τὴν ὑπόθεσιν ἀκριβέστερον. Μεθ' ἡμέρας δέ τινας, προσκαλεσάμενος τὸν Ἀπόστολον ὁ Ἡγεμὼν, παρούσης καὶ Δρουσίλλης τῆς τούτου γυναικὸς, ἀκούει τὰ σωτήρια δόγματα, καὶ γενόμενος ἔμφοβος, τὸν ἀποστέλλει· πάλιν ὅμως συχνάκις τὸν κήρυκα προσκαλῶν, εἶχε μετ' αὐτοῦ ἐπαλλήλους συνομιλίας, πλὴν οὐχὶ κατὰ σκοπὸν τοῦ διδαχθῆναι, ἀλλ' ἐπ' ἐλπίδι μᾶλλον τοῦ λαβεῖν ἀργύρια, καὶ αὐτὸν ἀπολύσαι· οὕτω διετίας πληρωθείσης κατὰ τὴν ἐν Καισαρείᾳ ταύτην τοῦ Ἀποστόλου φρουρὰν, διαδεξαμένου τέως τὴν Ἡγεμονίαν Πορκίου Φήστου, μέλλων ἀπαίρειν ὁ Φήλιξ, χαριζόμενος τοῖς Ἰουδαίοις, κατέλιπεν τὸν Παῦλον δέσμιον [23]).

ΕΤΟΣ Ξ'.

§ 222.

Πρὸ τοῦ βήματος τοῦ Φήστου πάλιν ὁ Ἀπόστολος παραστὰς, ὁμοίως ἀπολογεῖται. Ἐρωτηθεὶς δὲ ὑπὸ τοῦ Κριτοῦ, ἐὰν θέλῃ εἰς Ἱερουσαλὴμ ἀναβὰς, ἐνώπιον αὐτοῦ ἐκεῖ κρίνεσθαι· ὑποπτευόμενος τὴν καθ' ὁδὸν ἔνεδραν τῶν Ἰουδαίων, ἐπὶ τοῦ Βήματος Καίσαρος (εἶπεν) ἑστὼς «εἰμὶ.... Καίσαρα ἐπικαλοῦμαι... καὶ εἰσακούεται [24]).» Ἐν τούτοις Ἀγρίππας ὁ Βασιλεὺς (υἱὸς ἦν οὗτος τοῦ Ἡρῴδου Ἀγρίππα, τοῦ ἀνελόντος Ἰάκωβον τὸν ἀδελφὸν Ἰωάννου μαχαίρᾳ, καὶ προσθεμένου συλλαβεῖν καὶ Πέτρον). μετὰ Βερενίκης τῆς ἰδίας γυναικὸς, ὡς ἦλθον εἰς Καισάρειαν πρὸς ἀσπασμὸν τοῦ νέου ἡγεμόνος Φήστου, μαθόντες τὰ κατὰ τὸν Παῦλον, ἐπιθυμοῦσι νὰ ἀκούσουν

[23]) Πράξ. ΚΔ'. 1 — 27.
[24]) Πράξ. ΚΕ'. 1 — 12.

τὸν ἄνθρωπον· ὅθεν Ἀκροατηρίου λαμπροῦ καὶ πολυανθρώπου συναθροισθέντος, παραστὰς ὁ Ἀπόστολος, καὶ εἰς πλάτος ἀπολογηθεὶς ἐκρίθη ἀθῶος· πλὴν ἐπάνεγκες ἦν εἰς Ῥώμην αὐτὸν ἐκπεμφθῆναι, διὰ τὴν πρὸς τὸν Καίσαρα γενομένην ὑπ' αὐτοῦ ἔκκλητον [25]).

§ 223.

Παραδοθεὶς οὖν ὁ Παῦλος, σὺν τοῖς ἀκολούθοις αὐτοῦ, καὶ μετὰ καί τινων ἄλλων δέσμίων, Ἰουλίῳ τῷ Ἑκατοντάρχῃ, πλέει εἰς Ἰταλίαν. Σφοδρῶς δὲ κατὰ τὸν πλοῦν χειμασθέντες, καὶ κινδυνεύσαντες, τὸ δὲ ἔσχατον καὶ ναυαγήσαντες, τῆς νηὸς συντριβείσης αὐτοῖς καὶ βυθιζομένης, οἱ μὲν κολυμβῶντες, οἱ δὲ ἐπὶ σανίσιν ἐπινηχόμενοι, τέως διεσώθησαν ἅπαντες, ὡς αὐτοῖς τοῦτο προείρηκε δι' ὀπτασίας Ἀγγέλου πληροφορηθεὶς ὁ Ἀπόστολος. Διασωθέντες δὲ, ἐξῆλθον οὕτως ἐπὶ τῆς νήσου Μελίτης· ψυχαὶ αἱ πᾶσαι διακόσιαι ἑβδομήκοντα ἕξ [26]). Τὴν δὲ νῆσον ταύτην τινὲς ὑπέλαβον τὰ Μέλετα εἶναι· τὸ 4000 βήμασιν ἀπέχον ἀπὸ τῆς ἐν τῷ Ἀδριατικῷ κόλπῳ ἐπιδαύρου νησάριον· ὅτι ἐν τῷ Ἀδρίᾳ (φασὶ) διαφερόμενοι ἐχειμάζοντο [27])· τὸ Ἀδριατικὸν ὅμως, κατὰ τοὺς παλαιοὺς, πέλαγος μέχρι καὶ τοῦ Ἰωνίου, καὶ τοῦ Σικελικοῦ ἦν ἐφαπλούμενον [28]).

§ 224.

Ἐν ταύτῃ τῇ νήσῳ ἐκπεσόντες, φιλανθρώπου φιλοφροσύνης ἔτυχον ὑπὸ τῶν οἰκητόρων· ἐν ᾧ δὲ, πυρὰν

[25]) Αὐτ. 13 — 27. Καὶ Κε'. 1 — 32.
[26]) Πράξ. ΚΖ'. 1 — 44.
[27]) Πράξ. Αὐτ. 27.
[28]) Ὅρα Καλμέτ. ἐν ὑπομν. Πράξ. ΚΖ'.

SISMANOGLIO

ἀνῆπτον διὰ τὸ ψύχος, καὶ ὁ Παῦλος φρύγανα συστρέψας ἐτίθετο εἰς ἔναυσμα τοῦ πυρὸς, ἔχιδνα ἐκ τῆς θέρμης ἐκπηδήσασα, δάκνει τοῦ Ἀποστόλου τὴν χεῖρα. Ὅθεν οἱ βάρβαροι πρῶτον ἔκριναν φονέα τὸν ἄνθρωπον, καὶ ἀνοσιουργὸν, ὡς ὑπὸ τῆς θείας διωκόμενον δίκης, διά τε θαλάσσης, καὶ διὰ γῆς· ἔπειτα δὲ, ἰδόντες ὅτι οὐδὲν ἔπαθε κακὸν, μεταβαλλόμενοι τοῦτον ὑπέλαβον εἶναι Θεόν [29]).

§ 225.

Κατὰ τὴν αὐτὴν νῆσον ὁ Παῦλος, τὸν Πατέρα Ποπλίου τοῦ φιλοφρόνως αὐτοὺς ξενοδοχήσαντος, πυρετοῖς καὶ δυσεντερίᾳ συνεχόμενον, διὰ προσευχῆς ἰάσατο· καὶ πολλοὺς δέ ἄλλους προσέτι ἀσθενοῦντας ἐθεράπευσε. Τρεῖς δὲ ἐκεῖ μῆνας παραχειμάσαντες, τελευταῖον διά τε Συρακουσῶν πλεύσαντες, καὶ Ῥηγίου, καὶ Ποτιόλων, εἰς Ῥώμην ἔφθασαν. Ἔνθα οἱ μὲν ἄλλοι δέσμιοι παρεδόθησαν τῷ Στρατοπεδάρχῃ· ὁ δὲ Παῦλος ὑπὸ φυλακῇ ἑνὸς στρατιώτου τηρούμενος, περιήρχετο ἐλεύθερος [30]). Ὅθεν συγκαλέσας τοὺς ἐν Ῥώμῃ πρωτεύοντας τῶν Ἰουδαίων, καὶ διηγηθεὶς τὰ κατ' αὐτὸν ἐφεξῆς τε διαμαρτυρώμενος τοῖς προσερχομένοις τὰ περὶ Ἰησοῦ ἀπὸ τῶν Γραφῶν· καὶ τοὺς μὲν πείθων, τοὺς δὲ ἀπειθεῖς μένοντας ἀπελέγχων· καὶ λέγων, ὅτι τοῖς ἔθνεσιν ἀπεστάλη τὸ σωτήριον τοῦ Θεοῦ· ἔμεινεν ἐκεῖ διετίαν ὅλην κηρύσσων τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ διδάσκων τὰ περὶ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, μετὰ παῤῥησίας ἀκωλύτως [31]). Ἐν δὲ τούτοις τελευτᾷ ἡ Ἱστορία τῶν πράξεων.

[29]) Πράξ. ΚΗ. 1 — 6.
[30]) Πράξ. ΚΗ. 7 — 16.
[31]) Αὐτ. 17 — 31.

ΈΤΟΣ ΞΑ'.

§ 226.

Τῆς τοῦ Παύλου ἐν Ῥώμῃ διατριβῆς διετίαν ὅλην [1]) παραταθείσης, τὰ δεσμὰ αὐτοῦ συνετέλεσαν εἰς αὔξησιν τοῦ Εὐαγγελίου, ὅπερ ἀδεῶς κηρυττόμενον διέπεμπε τὸ παῤ αὐτοῦ φῶς, ἕως καὶ εἰς τὰ ἐνδότερα τῆς οἰκίας αὐτοῦ τοῦ Καίσαρος [2]). Ἐκήρυττε δὲ ὁ Παῦλος ἔνθα μὲν παρὼν ἦν στόματι, ἔνθα δ' ἀπὼν γράμμασι· διὸ τότε (λέγουσιν) ἐγράφησάν τε καὶ ἐπέμφθησαν, ἡ μὲν πρὸς Ἐφεσίους ἐπιστολὴ, διὰ Τυχικοῦ· ἡ δὲ πρὸς Φιλιππησίους, δι' Ἐπαφροδίτου· ἡ δὲ πρὸς Κολασσαεῖς, διὰ Τυχικοῦ καὶ Ὀνησίμου· διὰ δὲ τοῦ δευτέρου τούτου, καὶ ἡ πρὸς Φιλήμονα.

§ 227.

Μετὰ ταῦτα, ὑπολαμβάνουσι τινὲς [3]) ὅτι ἐγράφη ὡσαύτως ἀπὸ Ῥώμης, καὶ ἡ πρὸς Ἑβραίους ἐπιστολὴ πεμφθεῖσα διὰ Τιμοθέου. Ἄλλοι ὅμως, (ὅσοι ὑπὸ τῷ ὀνόματι τῆς Ἰταλίας [4]) οὐχὶ τὴν Ῥώμην, τὴν δὲ τῆς Σικελίας ὅμορον γῆν ἐννοοῦσιν·) ἔκριναν ὅτι τὴν ἐπιστολὴν τὴν πρὸς Ἑβραίους ὁ Παῦλος, ἀπολελυμένος ἤδη μετὰ τὴν διετίαν ἀπὸ τῶν ἐν Ῥώμῃ δεσμῶν· πρὸς τὸ τέλος δηλ· τοῦ ξά., ἅ κατ' ἀρχὰς τοῦ ξβ'., συνέγραψεν. Οἱ δὲ, καὶ ἐν ἔτει ξγ'. αὐτὴν χρονολογοῦσιν.

[1]) Πράξ. ΚΗ. 30.
[2]) Πρός Φιλίππησ. Κεφ. Α. 12 — 22.
[3]) Βεανσώβρης, καὶ Λαμφάντης ἐν τῷ γενικῷ προλόγῳ, τῷ εἰς τὰς τοῦ Παύλου ἐπιστολάς.
[4]) Πρὸς Ἑβρ. ΙΓ. 24.

§ 228.

Οἱ πλείονες, καὶ τὴν Α΄. τῶν Καθολικῶν ἐπιστολῶν τοῦ Πέτρου, ἐν τῷ δὲ τῷ ξά. ἔτει λέγουσιν ἐπισταλῆναι. Καίτοι ἄλλοι πάλιν ὀπίσω ἐπὶ τὸ νδ΄., οἱ δὲ καὶ ἔτι μᾶλλον ἐπὶ τὸ μέ. ἀναπέμπουσιν. Ἐγράφη δὲ πρὸς τοὺς κατὰ τὴν διασποράν ἐπιδημοῦντας Ἰουδαίους ἀπὸ Βαβυλῶνος. Τὴν δὲ Βαβυλῶνα, ἄλλοι μὲν εἶναι τὴν ἐν Ἀσσυρίᾳ μεγαλόπολιν ὑπέλαβον. Ἄλλοι δὲ τὴν κατ' Αἴγυπτον, τὸ καθ' ἡμᾶς Κάϊρον. Ἄλλοι δὲ τὴν κατὰ Σελεύκειαν. Οἱ δὲ πλεῖστοι τῶν Ἀρχαίων, αὐτὴν τὴν Ῥώμην, τροπολογικῶς οὕτω καλουμένην, ἐνόησαν [5]). Ἐν τῷ αὐτῷ τοῦτῳ ἔτει ἐγράφη καὶ ἡ τοῦ Ἀδελφοθέου Ἰακώβου ἐπιστολὴ ταῖς δώδεκα φυλαῖς τῶν ἐν τῇ διασπορᾷ, ὡς ὀλίγον πρὸ τῆς διὰ μαρτυρίου τελευτῆς αὐτοῦ γραφεῖσα.

§ 229.

Ἐν τῷ αὐτῷ ἔτειἔ γράφη (λέγουσι, καὶ τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον [6]). ἂν αὐτὸ ἐγράφη καθ' ὃν καιρὸν οἱ Κορυφαῖοι Ἀπόστολοι ἐν Ῥώμῃ διέτριβον. Πλὴν ἄλλοι προλαμβάνοντες τὸν καιρὸν, ἀναποδίζουσι τὴν συγγραφὴν τούτου, ἕως τῶν ή. ἤ θ΄. ἤ ιέ. χρόνων μετὰ τὴν τοῦ Κυρίου Ἀνάληψιν [7]). ἐν ἐκείνῳ συμφωνοῦσι σχεδὸν οἱ

[5]) Εὐσέβ. Ἐκκλησ. Ἱστορ. Βιβλ. Β΄. Κεφ. ΙΕ΄. Καὶ Ἱερών. ἐν τῷ Καταλ

[6]) Ὅρα Εἰρηναῖον Λουγδ. Βιβλ. Γ΄. Κεφ. ά.

[7]) Ὅρα Καβέον περὶ τῶν Ἐκκλησ. Συγγραφέως, ἐν αἰῶνι τῷ Ἀποστολικῷ, Σελ. 13. Οὐκ ὀκνητέον ἐνταῦθα παραθέσθαι, καὶ τὸ ἐν τῷ Ἀποσπασματίῳ τῷ ἀποδιδομένῳ Ἱππολύτῳ τῷ θηβαίῳ ἀναγινωσκόμενον· ὅτι «τὸ κατὰ «Ματθαῖον Ἅγιον Εὐαγγέλιον, ἐγράφη εἰς Παλαιστίνην μετὰ ϛ΄. ἔτη τῆς «Ἀναλήψεως, Ἑβραϊστὶ τὸ κατὰ Μάρκον Εὐαγγέλιον ἐγράφη Ῥωμαϊστὶ «ἐν Ῥώμῃ, μετὰ ιβ΄. ἔτη τῆς Ἀναλήψεως. Τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον «ἐγράφη Ἑλληνιστὶ εἰς Ἀλεξάνδρειαν τὴν μεγάλην. μετὰ ιέ. ἔτη τῆς

πάντες [8]). ὅτι πρῶτον τῶν ἄλλων Εὐαγγελίων τὸ κατὰ Ματθαῖον ἐγράφη. Ὅτι δὲ ἐγράφη αὐτὸ καὶ Ἑβραϊστὶ, πρῶτος μὲν ὁ Ἱεραπολίτης Παπίας, ἀπεμνημόνευσεν [9]). εἶτα δὲ καὶ ἄλλοι τῷ Παπίᾳ παρηκολουθηκότες Ἀγκαλὰ οὐκ ὀλίγοι τῶν ὕστερον περὶ τούτου πολλὰ ἀμφιβάλλουσι, πιθανώτερον κρίνοντες, ὅτι καὶ τὸ κατὰ Ματθαῖον, καθὼς καὶ τὰ ἄλλα, συνετάχθη Ἑλληνιστί.

§ 230.

Μετὰ τὸ Ματθαίου, καὶ τὸ κατὰ Μάρκον Εὐαγγέλιον συνεγράφη, καὶ τὸ κατὰ Λουκᾶν ἐφεξῆς· καὶ αἱ πράξεις δὲ αἱ τῶν Ἀποστόλων [10]). Ἐὰν οὖν, ὥστινες ὑπέλαβον, ἐν τούτῳ τῷ ἔτει αἱ πράξεις ἔτυχον τῆς Συγγραφῆς, καθότι οὐδεὶς ἐν αὐταῖς γίνεται λόγος περὶ τῶν ὑπὸ τοῦ Παύλου πεπραγμένων μετὰ τὴν ἀπὸ τῶν δεσμῶν ἀπόλυσιν τῶν ἐν Ῥώμῃ· φανερὸν γίνεται, ὅτι πρὸ τοῦδε τοῦ ἔτους τὸ Εὐαγγέλιον αὐτοῦ ὁ Λουκᾶς συνέγραψε· καὶ τούτου δὲ ἔτι πρότερον ἑπομένως τὰ κατ' αὐτούς. ὅ τε Ματθαῖος, καὶ ὁ Μάρκος. Ἀλλ' ἐπιεικῶς περὶ τούτων οἱ Συγγραφεῖς οὐδὲν ἡμᾶς διδάσκουσιν ἀναμφιλέκτως διωρισμένον καὶ βέβαιον. Διὰ τοῦτο καὶ οἱ μὲν τοὺς χρόνους προλαμβάνουσιν· οἱ δὲ ὑστεροῦσιν· ἐκεῖνο βέβαιον εἶναι, καὶ ἁπάσης ἀμφιβολίας ἐκτός, ὅτι ὁ Ἱερὸς Λουκᾶς,

«Ἀναλήψεως. Τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον, ἐγράφη Ἑλληνιστὶ ἐν Πάτμῳ «νήσῳ, μετὰ τριάκοντα δύο ἔτη τῆς Ἀναλύψεως. Ἀλλ' εἰς τὴν χρονολογίαν ταύτην πολλὰ ἀπαντῶσιν ἀντιπίπτοντα, δι' ἃ οὐδεὶς δύναται ἐν αὐτῇ νὰ βάλῃ θεμέλιον.

[8]) Εἰρηναῖος Βιβλ. Γ΄. Κεφ. Α΄. Εὐσέβ. Ἐκκλ. Ἱστορ. Βιβλ. ϛ΄. Κεφ. ιδ΄. Ἱερώνυμ. ἐν τῷ Καταλόγῳ τῶν Ἐκκλησ. Συγγραφ. Αὐγουστ. ἐν τῷ περὶ Συμφων. τῶν Εὐαγγελ. Βιβλ. Α΄. Κεφ. ά.

[9]) Παρ' Εὐσέβ. Ἐκκλ. Ἱστορ. Βιβλ. Γ΄. Κεφ. λθ΄.

[10]) Εἰρηναῖος Βιβλ. Γ΄. κατὰ Αἱρέσ. Κεφ. Α΄.

μετὰ τὸν πρῶτον λόγον [11]· τουτέστι μετὰ τὸ Εὐαγγέλιον, ἐξέθετο τὸν δεύτερον· ἤγουν τὰς πράξεις. Μεμαρτυρημένον δὲ φέρεται καὶ περὶ τοῦ Μάρκου, ὅτι συνέγραψε τὸ ἴδιον Εὐαγγέλιον παρακληθεὶς ὑπὸ τῶν ἐν Ῥώμῃ πιστῶν [12]. Καὶ τὸ ἄλλο προσέτι, ὅτι ὁ Μάρκος φαίνεται ἀκολουθῶν τὸν Ματθαῖον, οἷον ἐπιτομεύς τις τῶν ἐκείνου Εὐαγγελικῶν διηγήσεων [13].

ΕΤΟΣ ΞΒ'.

§ 231.

Ἂν ὁ Παῦλος περιώδευσεν εἰς Ἱσπανίαν, ὡς ἐκ τῆς πρὸς Ῥωμαίους [14]) εἰκάζοντες, καὶ δὴ καὶ τῇ μαρτυρίᾳ τοῦ Ἱεροῦ Κλήμεντος [15]) τοῦ συγχρόνου τῷ Παύλῳ γενομένου ἑπόμενοι, πολλοὶ τῶν πατέρων [16]) ὑπέλαβον. οὐδεὶς ἄλλος ἂν ἔχει διορισθῆναι πρὸς τὴν περίοδον ταύτην, καιρός τοῦ παρόντος προσφυέστερος· πολλοὶ ὅμως ἄλλοι καὶ μάλιστα τῶν Δυτικῶν οἱ ὕστερον περὶ τῆς περιοδεύσεως ταύτης ἀμφιβάλλουσι· Συλλογίζονται γὰρ, ὅτι περὶ τὸ τέλος τοῦ ξβ'. ἔτους, συνοδευθεὶς ὁ Παῦλος τῷ Τιμοθέῳ ἐκ Μακεδονίας ἐπιστρέψαντι [17]), ἔσπευδεν εἰς Ἰουδαίαν ἐπανελθεῖν· ὅτε καὶ παραπλεύσας

[11]) Πράξ. Α'. 1.

[12]) Κλήμης ἐν ς'. τῶν ὑποτυπώσεων. Καὶ Παπίας ὁ Ἱεραπολίτης παρ' Εὐσέβ. Ἐκκλ. Ἱστορ. Βιβλ. Β'. Κεφ. ΙΕ'.

[13]) Αὐγουστῖνος περὶ Συμφων. Εὐαγγελ. Βιβλ. Α'. Κεφ. β'.

[14]) Κεφ. ΙΕ'. 24.

[15]) Ἐν τῇ αὐτοῦ πρὸς Κορινθ. ἐπιστ. § έ.

[16]) Ἀθανάσ. πρὸς Δρακόντ. Ἐπιφάν. Αἱρέσ. ΚΖ'. Χρυσόστ. Ὁμιλ. Ζ'. τῶν εἰς Παῦλον. Ἱερών. εἰς τὸν Ἡσαΐαν Κεφ. ΙΑ'. 14. Κύριλ. Κατηχ. ΙΖ'. Θεοδώριτ. εἰς τὴν πρὸς Φιλιππησ. Α'. 25.

[17]) Πρὸς Ἑβρ. ΙΓ'. 23.

κατέλιπεν ἐν Κρήτῃ τὸ Τῖτον, εἰς τὴν τῆς ἐκεῖ Ἐκκλησίας διόρθωσιν [18]).

§ 232.

Κατὰ τὸ ἔτος τοῦτο συνέβη, καὶ ἡ Ἰακώβου τοῦ Ἀδελφοῦ τοῦ Κυρίου, καὶ πρώτου τῆς ἐν Ἱεροσολύμοις Ἐκκλησίας χρηματίσαντος ἐπισκόπου φονοκτονία [19]) ἐξ ἐπιβουλῆς Ἀνάνου, ἢ Ἀνανίου τοῦ Ἀρχιερέως [20]) ἀνδρὸς τολμηροῦ τε καὶ θρασυτάτου· ἐκ τῆς τῶν Σαδδουκαίων ὄντος αἱρέσεως. Ὁ γὰρ ῥηθεὶς Ἀδελφόθεος, ἐπὶ δικαιοσύνῃ καὶ ὁσιότητι βίου, καὶ παρ' αὐτοῖς τοῖς Ἰουδαίοις οὐχ ἥκιστα θαυμαζόμενος, καὶ διὰ τοῦτο καὶ Ὠβλίας (ὅπερ τὸν δίκαιον σημαίνει·) καλούμενος, προτροπῆτε καὶ παρακλήσει πάντων ἀναβὰς ἐπὶ τοῦ Ναοῦ τὸ πτερύγιον, ἔδωκεν ἐκεῖθεν τὴν ζητουμένην παρ' αὐτοῦ μαρτυρίαν περὶ τοῦ Ἰησοῦ, κηρύξας φωνῇ μεγάλῃ· ὅτι ὁ «Ἰησοῦς κάθηται ἐν τῷ οὐρανῷ, ἐκ δεξιῶν τῆς μεγάλης «δυνάμεως, καὶ μέλλει ἔρχεσθαι ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ. Ἐπὶ τῇ τοιαύτῃ οὖν μαρτυρίᾳ πολλοὶ μὲν τῶν παρόντων ἐπληροφορήθησαν, καὶ ἀνεβόησαν, «ὡσαννὰ «τῷ υἱῷ Δαβίδ.» Ἀλλ' οἱ Γραμματεῖς καὶ οἱ Φαρισαῖοι,

[18]) Πρὸς Τῖτον Α'. 5.

[19]) Ἡ τοῦ Ἰακώβου φονοκτονία ὑπότινων (Διονυσ. Πεταβ. ἐν τῷ Λογιστηρίῳ τῶν χρόνων, Μέρ. Α'. Βιβλ. Ε'. Κεφ. γ'.) εἰς τὸ πρὸ τούτου ἔτος, ἤτοι τὸ ξά. ἀνάγεται. Ὁ δὲ Εὐσέβιος τὴν αὐτὴν Ἱστορῶν φαίνεται ἀσύμφωνος αὐτὸς ἑαυτῷ. Τάξας γὰρ αὐτὴν (ἐν τοῖς χρονικοῖς) κατὰ τὸ ξβ'., ἐν ἔτει δηλ. ζ'. τῆς τοῦ Νέρωνος Αὐτοκρατορίας, ἀναβάλλει ἐν ἄλλοις (Ἐκκλ. Ἱστορ. Βιβλ. Γ'. Κεφ. ιά.) ἕως ἐγγὺς τῆς τῶν Ἱεροσολύμων ἁλώσεως· ἥτις μετὰ ἡ. ἢ θ'. ἐνιαυτοὺς συνέβη ὕστερον· ἣν δὴ γνώμην παρακολουθῶν, καὶ ὁ τοῦ Ἀλεξανδρηνοῦ χρονικοῦ Συγγραφεὺς, τὴν Ἰακώβου ἀναίρεσιν, ἐν ἔτει πρώτῳ τῆς Οὐεσπασιανοῦ Αὐτυρχίας· ἐχρονολόγησεν.

[20]) Ἰωσήπ. Ἀρχαιολ. Βιβλ. Κ'. Κεφ. ή.

ἔκραξαν: «ὦ ὤ! καὶ ὁ δίκαιος ἐπλανήθη· ὅθεν δὶ ἐπιταγῆς τοῦ εἰρημένου Ἀρχιερέως Ἀνάνου, κατεκρημνίσθη ὁ Ἀπόστολος ἀπό τοῦ πτερυγίου· καὶ ὡς ἐκ τοῖ κρημνίσματος οὐκ ἀπέθανεν, ἀπελιθάσθη· ἐπειδὴ δέὑπὲρ τῶν λιθοβολούντων ηὔχετο: «παρακαλῶ Κύριε Θεὲ Πάτερ «ἄφες αὐτοῖς, οὐ γὰρ οἴδασι τί ποιοῦσιν· εἷς μέντις τῶν «Ἱερέων, ἀπὸ τῶν υἱῶν Ῥηχὰβ, ἔκραξε: παύσασθε· τί ποιεῖτε; εὔχεται ὑπὲρ ἡμῶν ὁ δίκαιος· ἄλλος δέτις ὅμως τῶν ἐκεῖ παρόντων, ἐκ τῆς τέχνης ὢν τῶν Κναφέων, διὰ τοῦ κναφικοῦ ξύλου ὅ κατεῖχε, κατεσύντριψε τὴν τοῦ δικαίου κεφαλὴν [21]). Λέγουσιν [22]) ὅτι τὰ μετ' οὐ πολὺ κατὰ τῆς Ἱερουσαλὴμ ἐπισκήψαντα κακὰ ὁ Ἀρχαιολόγος Ἰώσηπος, τὰ ἀπέδωκεν ἅπαντα εἰς τὴν τοῦ Ἰακώβου ἀναίρεσιν. Ἀλλ' ἡ ῥῆσις, ὡς παρὰ Ὠριγένει, καὶ παῤ Εὐσεβίῳ ἀναφέρεται, ἐν τοῖς Ἰωσήπου σωζομένοις συγγράμμασι τὴν σήμερον οὐχ εὑρίσκεται.

§ 233.

Συμεὼν ὁ τοῦ Κλεώπα τὸν Ἱεροσολύμων διαδέχεται θρόνον [23]). Τὴν δὲ διαδοχὴν ὁ Εὐσέβιος, ὑπερέθετω ἐν ἄλλοις [24]), ἕως μετὰ τὴν Ἱεροσολύμων ἅλωσιν. ὑπὲρ ἧ διαδοχῆς συνηθροίσθησαν (φησὶ) τῶν Ἀποστόλων καὶ Μαθητῶν οἱ τῷ βίῳ περιλειπόμενοι, ἅμα τοῖς πρὸς γένους κατὰ σάρκα τοῦ Κυρίου κτ. [25]) Λέγεται γοῦν καὶ

[21]) Ὅρα Εὐσέβ. Ἐκκλ. Ἱστορ. Βιβλ. Β'. Κεφ. κγ'.

[22]) Ὠριγέν κατὰ Κέλσου, Βιβλ. Α'. Εὐσέβ. ἐν Ἱστορ. Βιβλ. Β' Κεφ. κγ'. Ἱερώνυμ: περὶ ἀνδρῶν ἐπισήμων.

[23]) Εὐσέβιος ἐν τοῖς χρονικοῖς.

[24]) Ἐν τῇ Ἐκκλησ. Ἱστορ. Βιβλ. Γ'. Κεφ. ιά.

[25]) Ὅρα καὶ Ἀλέξανδρον τὸν Ἱεροσολύμ. Λόγ. περὶ τῆς Εὑρέσ. τοῦ σταυροῦ παρὰ Δοσιθ. ἐν τοῖς περὶ τῶν ἐν Ἱεροσολ. Πατριαρχ. Βιβλ. Α'. Κεφ. Β'. § ά. Σελ. 5.

ὁ Συμεὼν οὗτος Ἀδελφὸς τοῦ Κυρίου, ὡς καὶ Ἰάκωβος ὁ αὐτοῦ προκάτοχος καὶ Αὐτάδελφος· οὕτω γὰρ ἔχει ἡ γενεαλογία τούτων κατά τινας. Κλαιόπας, ὁ ἄλλως καὶ Ἁλφαῖος καλούμενος, καὶ Ἰωσὴφ ὁ μνήστωρ ἀδελφοί. Ἡ ἁειπάρθενος Μαρία, καὶ ἡ ἄλλη Μαρία ἡ τοῦ Κλεόπα, ἤ Ἁλφαίου γαμετὴ, ἀδελφαί. ἤ πρωτεξάδελφαι. Ἐκ τοίνυν τοῦ Κλεόπα καὶ Μαρίας τῆς αὐτοῦ συζύγου γεννῶνται Ἰάκωβος ὁ Ἐλάσσων, καὶ Συμεὼν, καὶ Ἰούδας ὁ ἐπικληθεὶς Θαδδαῖος· ὥστε ἦσαν ἀνεψιοὶ τῆς Παρθένου, καθὼς καὶ τοῦ Ἰωσὴφ· τοῦ δὲ Χριστοῦ πρωτεξάδελφοι· πλὴν ἄλλοι γενεαλογοῦσιν ἄλλως· [26]) Σημείωσαι δὲ, καὶ ὅτι ἄλλοι ἦν παρὰ τὸν Ἀπόστολον Σίμωνα, ὁ Συμεὼν περὶ οὗ ἐνταῦθα· ἐκεῖνος γὰρ ἦν Κανανίτης, οὗτος δὲ Ναζαρηνός [27]).

ἜΤΟΣ ΞΓ'

§ 234.

Ὁ Παῦλος παραγίνεται αὖθις εἰς Ἱερουσαλὴμ μετὰ τὴν ἐπιστροφὴν αὐτοῦ τὸ ἕκτον ἤδη· οὐ πολὺ δὲ παραμείνας, διέρχεται τὴν Ἀσίαν εἰς ἐπίσκεψιν τῶν ἐκεῖ Ἐκκλησιῶν· ἐν Κολοσσοῖς οὖν ξενίζεται παρὰ τῷ Φιλήμονι [28]) ἐν δὲ Ἐφέσῳ καθίστησι τὸν Τιμόθεον πρὸς ἀναίρεσιν πάσης ἑτεροδιδασκαλίας, καὶ τῆς Ἐκκλησίας ἐκείνης στηριγμὸν καὶ κατάρτισιν [29])· ἐξ Ἐφέσου δὲ πλέει εἰς Φιλίππους τῆς Μακεδονίας, ὅπου χρόνον τινὰ δια-

[26]) Ὅρα ἀνωτ § 166.

[27]) Χρυσόστ. καὶ Θεοφύλ. παρὰ Δοσιθ. ἔνθ. ἀνωτ. ἐσημειώθη.

[28]) Πρὸς Φιλήμ. Ἐπιστ. Ἐδαφ. 22.

[29]) Α'. πρὸς Τιμόθ. Α'. 3.

τρίψας, ἔγραψεν (ὡς οἱ πλείονες [30]) ὑπολαμβάνουσι·) τὴν Α΄, τῶν πρὸς Τιμόθεον Ἐπιστολῶν, περὶ τὰς ἀρχὰς ἴσως τοῦ ἐφεξῆς ξδ΄. ἐνιαυτοῦ. Εἰ δὲ ἐν ταῖς κοινῇ τυπογραφομένοις ἐκδόσεσι σεσημειωμένον ἀναγινώσκεται, ὅτι ἡ ῥηθεῖσα Α΄. πρὸς Τιμόθεον ἔγράφη ἀπὸ Λαοδικείας, ἥτις ἐστὶ Μητρόπολις τῆς Φρυγίας τῆς Πακατιανῆς ἀλλ' αὕτη νεωτέρας κρίνεται χειρὸς ἡ σημείωσις. Πρὸ γὰρ τῆς τοῦ Μεγάλου Κωνσταντίνου Αὐτοκρατορίας, οὐδεμία οὐδαμοῦ τῆς Πακατιανῆς Φρυγίας γίνεται μνεία.

§ 235.

Κατὰ τοῦτο ξγ΄. ἔτος, πρῶτος μετὰ Μάρκον τὸν Εὐαγγελιστὴν, (τὸν ἀπὸ τοῦ μδ΄. ὅτε μετὰ Πέτρου εἰς Ῥώμην παρεγένετο· πρὸς Αἰγυπτίους ἐκεῖθεν καὶ Ἀλεξανδρεῖς ἐπιδημήσαντα, καὶ τὸν λόγον αὐτοῖς [31]) εὐαγγελισάμενον). Ἀλεξανδρείας ἐπίσκοπος ἐχρημάτισεν Ἀνανίας [32]). Περὶ τούτου ἱστόρηται [33]), ὅτι ἐν Ἀλεξανδρείᾳ ἦν Σανδαλιορράφος· Συρράπτων δὲ διασχισθὲν τὸ παλαιὸν τοῦ Μάρκου σανδάλιον, ἐπειδὴ τρυπηθεὶς διὰ τῆς βελόνης τὴν χεῖρα, καὶ ὑπεραλγήσας· (ὦ Θεέμου!) ἐφώνησεν· ἐκ τούτου ὁ Εὐαγγελιστὴς λαβὼν ὀφορμὴν, τὴν εἰς Χριστὸν πίστιν αὐτὸν ἀνεδίδαξε, θεραπεύσας εὐθὺς διὰ τοῦ ἰδίου ἐμπτύσματος· καὶ βαπτίσας τέως, καὶ εἰς Ἐπίσκοπον τοῦ ἐκεῖ θρόνου προεβίβασεν.

---

30) Ἀθανάσ. ἐν τῇ Συνόψει. Θεοδώρητ. ἐν τῷ προλόγῳ τῆς πρὸς Ῥωμ. καὶ οἱ νεώτεροι κοινῶς.

31) Εὐσέβ. ἐν τοῖς χρονικ. ᾧπερ ἀκολουθοῦσι Βαρώνιός τε καὶ Πετάβιος· ἢ πιθανώτερον ἴσως (ὅρα ἀνωτ. § 189. καὶ τὴν ἐκεῖ σημείωσιν· (37) κατὰ τὴν Εὐτυχίου τοῦ Ἀλεξανδρ. γνώμην, ἀπὸ τοῦ νά. ἔτους, ὅπερ ἦν τὸ Θ΄. τῆς Βασιλείας Κλαυδίου.

32) Αὐτ. αὐτ.

33) Παρὰ Βολλάνδῳ ἐν τῇ Βιογραφ. Μάρκου τοῦ Εὐαγγελιστοῦ, κέ. Ἀπριλλίου.

§ 236.

Ἐκ τούτου ἄρχησαν εἰς Ἱερουσαλὴμ καὶ προανεφωνοῦντο τῆς ἐσομένης μετ' οὐ πολὺ πανωλεθρίας τὰ προμηνύματα. Ἰησοῦς τις υἱὸς Ἀνάνου τῶν ἰδιωτῶν ἀγροῖκος, πρὸ τεσσάρων μὲν ἐτῶν πρὶν τοῦ πολέμου, ἑπτὰ δὲ πρὸ τῆς ἁλώσεως, κατὰ τὴν ἑορτὴν τῆς σκηνοπηγίας, ἤρξατο ἀναβοᾷν: «Φωνὴ ἀπ' Ἀνατολῆς, φωνὴ ἀπὸ Δύσεως, φωνὴ «ἀπὸ τῶν τεσσάρων ἀνέμων· φωνὴ ἐπὶ Ἱεροσόλυμα καὶ τὸν Ναόν· φωνὴ ἐπὶ νυμφίους καὶ νύμφας. φωνὴ ἐπὶ «τὸν λαὸν πάντα.» Τοῦτο ἀνέκραζε νυκτὸς καὶ ἡμέρας, καὶ μάλιστα ἐν ταῖς ἑορταῖς· παιόμενος δὲ καὶ μαστιγούμενος, οὐδὲν ὑπὲρ ἑαυτοῦ ἐφθέγγετο, εἰμὴ πρὸς ἑκάστην πληγὴν ὀλοφυρτικῶς, «Αἴ αἴ Ἱερουσαλήμ. Κατὰ δὲ τὴν πολιορκίαν ἔπειτα περιῶν ἐπὶ τῶν τειχέων:« Αἴ «αἴ τῇ πόλει, καὶ τῷ λαῷ, καὶ τῷ Ναῷ! ἐθρηνολόγει· ὡς δὲ τελευταῖον ποτὲ προσέθηκεν. »Αἴ αἴ κἀμοὶ! λίθος ὑπὸ τοῦ πετροβόλου μηχανήματος παρὰ τῶν πολιορκούντων σχασθεὶς, τὸν ἄνθρωπον ἀπέκτεινεν, αὐτὸ τοῦτο ἐλεεινῶς ἐπαιάζοντα [36]).

Ἔτος ΞΑ΄.

§ 237.

Ὁ Παῦλος κηρύξας τὸ Εὐαγγέλιον μέχρι τοῦ Ἰλλυρικοῦ [1]), ἔπειτα παραχειμάζει [2]) εἰς Νικόπολιν, τὴν ὑπὸ Αὐγούστου, ἐπὶ τῇ τροπῇ Μάρκου Ἀντωνίου καὶ Κλεοπάτρας, ἄντικρυ τοῦ καλουμένου Ἀκτίου κτισθεῖσαν,

---

35) Ἰώσηπ. Ἁλώσεως Βιβλ. Ζ΄. Κεφ. λὰ.

1) Πρὸς Ῥωμ ΙΕ΄. 19·

2) Πρὸς Τίτον Γ΄. 12.

ἐγγὺς τῆς καθ' ἡμᾶς καλουμένης Πρεβέζης· ἐκεῖθεν οὖν ὑπὸ τοῦ Παύλου ἐγράφη τότε καὶ ἡ πρὸς Τίτον ἐπιστολή.

§ 238.

Ὀρεχθεὶς ὁ Νέρων τὸν πάλαι ἐμπρησμὸν τῆς Τρῳάδος, αὐταῖς ὄψεσι κατιδεῖν, καταπυρπολεῖ τὴν Ῥώμην. Εἶτα, τὴν τοῦ ἀνοσιουργήματος αἰτίαν ἀποτριβόμενος, ἐπιφορτίζει τὸ ἔγκλημα τοῖς χριστιανοῖς· ἐντεῦθεν ὁ πρῶτος κατὰ χριστιανῶν διωγμὸς τὴν ἀφορμὴν ἔλαβεν, οὗπερ διωγμοῦ καὶ ὁ Τάκιτος [3]) μνημονεύει, καὶ ὁ Σβετόνιος [4]), φρικτοὺς τινὰς τρόπους βασάνων ὑπὸ τοῦ Θηριώδους Τυράννου ἐπινοηθέντας ἐξιστορήσαντες. Καὶ γὰρ τῶν ἄλλων μεταξὺ, ἐνίους τῶν χριστιανῶν ὁ Νέρων, πίσσαν, καὶ στέαρ, καὶ ἄλλα τοιαῦτα εὐκατάφλεκτα δι' ὅλου τοῦ σώματος ἐπαλείφων, εἶτα ἐφ' ὑψιλῶν παττάλων ἀνάπτων, εἰς φωτοχυσίαν νυκτὸς, ὡς πυρσοὺς καὶ λαμπάδας κατέφλεγεν [5]).

ΕΤΟΣ ΞΕ'.

§ 239.

Ἐπιστρέψας οὖν ὁ Παῦλος εἰς τὴν Ἀσίαν, ὡς προϋπεσχεθεὶς τῷ Τιμοθέῳ [6]), ἐκεῖθεν ἔπειτα πάλιν ἐκπλεύσας διὰ Κορίνθου, ὅπου κατέλιπε τὸν μεθ' ἑαυτοῦ Ἔραστον, καθὼς καὶ Τρόφιμον ἀσθενήσαντα κατέλιπεν ἐν Μιλήτῳ [7]) ἐπανέρχεται τὸ δεύτερον εἰς τὴν Ῥώμην.

[3]) Χρονικ. ΙΕ'. 44.
[4]) Εἰς βίον Νέρωνος, Κεφ. Ις'.
[5]) Ὅρα Ἐκκλησ. Ἱστορ. Εὐσέβ Βιβλ. Β'. Κεφ. κέ. ἐκ τοῦ Τερτυλλιαν. ἐν τῷ Ἀπολογητικῷ.
[6]) Α. πρὸς Τιμόθ. Γ'. 14. 15.
[7]) Β'. πρὸς Τιμόθ. Δ. 20.

Συναπῆλθε δ' εἰς Ῥώμην σὺν τῷ Παύλῳ τότε καὶ Πέτρος ἀπὸ Κορίνθου συνοδευθείς· ἤ γοῦν ἄλλως, κατὰ τὸν αὐτὸν καιρὸν ἄμφω οἱ Ἀπόστολοι ἐπιδημήσαντες συνευρέθησαν ἐν Ῥώμῃ, ὅπου καὶ τὸν ὑπὲρ Χριστοῦ ὑπέμειναν θάνατον. Καὶ γὰρ, εἰ καὶ μηδὲν ὁ Παῦλος ἀναφέρει ἐν τῇ Β'. αὐτοῦ πρὸς Τιμόθεον ἐπιστολῇ, ἀλλ' ἡ σιγὴ αὕτη δὲν ἀνταναιρεῖ τὴν περὶ τούτου κοινὴν καὶ ἀρχαιοτάτην παράδοσιν, ἧς παρὰ τὰς τῶν ἄλλων, ἔχομεν ἀξιόπιστον τὴν μαρτυρίαν Διονυσίου τοῦ Ἐπισκόπου Κορινθίων [8]), ὃς ἤκμαζε περὶ τὸ ρό. Σωτήριον ἔτος περὶ τὸν αὐτὸν δὲ χρόνον, εἶναι γνώμη, ὅτι καὶ ὁ Μάρκος συνοδεύων τὸν Πέτρον, τὸ κατ' αὐτὸν συνέγραψεν Εὐαγγέλιον ἐν αὐτῇ διάγων τῇ Ῥώμῃ. Ἀγκαλὰ ἄλλοι θέλουσι πάλιν, ὅτι μετὰ τὸ μαρτύριον τῶν Κορυφαίων, συνέγραψεν αὐτό. [9]).

§ 240.

Κατὰ τοῦτον ἀναφέρονται τὸν χρόνον καὶ τὰ διάφορα τεράστια, ἃ τὴν ἐγγίζουσαν τῶν Ἰουδαίων ἐξώλειαν προεσήμαινεν. Ἐπὶ τῆς ἑορτῆς τῶν ἀζύμων μηνὸς Ξανθικοῦ Η'., κατὸ τὸν Ἀπρίλλιον δηλονότι, ὥρᾳ τῆς νυκτὸς Θ'., φῶς ἐξαίσιον περιέλαμψε τὸν βωμὸν, καὶ ὅλον τὸν ἐν Ἱεροσολύμοις Ναόν. Βοῦς εἰς θυσίαν ἀχθεῖσα, ἔτεκεν ἄρνα ἐν μέσῳ τοῦ Ἱεροῦ. Ἡ Ἀνατολικὴ τοῦ ἐνδοτέρου, χαλκή τε καὶ στιβαρωτάτη οὖσα πύλη, ἡ μόλις ὑπὸ ἀνδρῶν εἴκοσι ἀνοιγομένη καὶ κλειομένη, κατὰ τὴν

[8]) Ἐν Ἐπιστ τῇ πρὸς Ῥωμ. ὅρα παρ Εὐσέβ. Ἐκκλ. Ἱστορ. Βιβλ. Β'. Κεφ. κέ.
[9]) Ὅρα Εἰρηναῖον ἐν Βιβλ Γ'. Κεφ. ά. Καὶ Εὐσέβ. Ἐκκλησ. Ἱστορ. Βιβ· Ε' Κεφ. ή.

ς'. τῆς νυκτὸς ὥραν αὐτομάτη εὑρέθη ἀνεῳγμένη· καὶ ταύτην ἔπειτα ὁ στρατηγὸς ἐπιστὰς μόλις ἴσχυσε κλεῖσαι. Μετὰ τὴν ἑορτὴν πάλιν, μηνὸς Ἀρτεμισίου κά. ἤτοι κατὰ τὸν Μάϊον, πρὸ ἡλίου δύσεως, ὤφθησαν μετέωρα φάσματα περὶ πᾶσαν τὴν χώραν ἅρματά τε καὶ φάλαγγες ἔνοπλοι. Κατὰ δὲ τὴν ἐφεξῆς ἑορτὴν τῆς πεντηκοστῆς, οἱ Ἱερεῖς εἰς τὸ ἔνδον τοῦ ἱεροῦ παρελθόντες, κινήσεως ἤκουσαν καὶ κτύπου, καὶ φωνῆς ἀθρόας λεγούσης: μεταβαίνομεν ἐντεῦθεν [10]). Τῶν δὲ Θεοσημειῶν τούτων, καὶ Τάκιτος ὁ Ῥωμαῖος Ἱστορικὸς ἐμνημόνευσε [11]).

ΕΤΟΣ Ξς'

§ 241.

Εἰς Ῥώμην ὁ Παῦλος παραγενόμενος, καὶ ἐν Δεσμωτηρίῳ παραυτίκα βληθεὶς, μόλις ὑπὸ Ὀνησιφόρου ζητούμενος εὑρέθη [12]). Εἶτα παρὰ πάντων ἐγκαταλελειμμένος, ἄνωθεν ἐνδυναμοῦται, καὶ ἀπολογησάμενος, ἐκ στόματος λέοντος ῥύεται [13]). Τότε δὴ καὶ τὴν Β'. πρὸς Τιμόθεον (λέγουσιν) ἔγραψε, προτρέπων αὐτὸν, ἵνα προφθάσας ἔλθῃ, καὶ τὸν εὕρῃ πρὸ τοῦ χειμῶνος [14]).

§ 242.

Τότε (θέλουσιν) ὅτι καὶ Σίμων ὁ Μάγος ἐν Ῥώμῃ διατρίβων, καὶ πολλοὺς ἀποπλανῶν, καὶ, διὰ τὰς αὐτοῦ γοητείας, κεχαρισμένος ὢν μάλιστα Νέρωνι, προὐκαλεῖτο

10) Ἰώσηπ Ἀλώσ Ζ'. λά.
11) Βιβλ ΚΑ'.
12) Β'. πρὸς Τιμόθ. Α'. 17.
13) Αὐτ. Δ'. 16. 17.
14) Αὐτ. 21

Πέτρον καὶ Παῦλον τοὺς Θεοκήρυκας εἰς ἐπίδειξιν δυνάμεων· ὅτε καὶ ἐπ' ὀχήματος Δαιμόνων, μιᾷ τῶν ἡμερῶν, μετάρσιος εἰς ἀέρα φερόμενος, διὰ προσευχῆς τῶν Ἀποστόλων εἰς γῆν κατερράγη πεσὼν, καὶ συντριβεὶς διεφθάρη. Τὸ τοιοῦτον τοῦ Σίμωνος πτῶμα μετὰ διαφόρων ἄλλων περιστάσεων, ὡς ἐξ ἀποκρύφων βιβλίων ἱστορούμενον, οἱ Κριτικοὶ ἐκσυρίττουσι· λέγοντες, ὅτι οὐδεὶς αὐτὸ πρὸ τοῦ Ἀρνοβίου ἀπεμνημόνευσεν. Ἀλλ' ὁ Ἄφρος Ἀρνόβιος ἅλις ἀρχαῖος ὑπῆρξεν, ὡς κατά τὸ τέλος τοῦ Γ'. αἰῶνος ἀκμάσας. (ἔτει 303.) Συμμαρτυροῦσι δὲ τῷ Ἀρνοβίῳ, τὸ τοῦ Γόητος δράμα, ἢ ὀρθότερον εἰπεῖν σύμπτωμάτε καὶ πάθημα ἀναφέροντες καὶ ἄνδρες μεγάλου ὀνόματος [15]).

§ 243.

Περὶ τοῦτον τὸν χρόνον αἱ παρ' Ἰουδαίοις στάσεις τὴν ῥοπὴν ἔδωκαν τοῦ κατ' αὐτῶν φοβεροῦ πολέμου, ἐν ᾧ τὸ ἔθνος, πολλὰ καὶ δράσαν καὶ παθὸν, τὴν προρρηθεῖσαν αὐτῷ τέως ὑπέστη ἐσχάτην πανωλεθρίαν [16]). Πολλοὶ δὲ τότε τῶν Ἰουδαίων ἀπὸ τῆς Ἱερουσαλὴμ ἐξελθόντες παρῴκησαν εἰς τὴν Πέλλαν, πόλιν μικρὰν ἐπὶ ὄρους κοιμένην, κατὰ τὰς πρὸς Συρίαν ἐρήμους. Μάλι-

15) Χρυσόστ. ὁμιλ. ΙΗ'. εἰς τὰς πράξεις. Ἀμβρόσ. ἑξαήμ. Βιβλ Δ'. Κύριλλ. Ἱεροσολυμ. Κατηχ. ς'. Ἐφραὶμ ὁ Σύρος ὁμιλ. περὶ Αἱρετικῶν. Ἀλλὰ καὶ Δίων ὁ Προυσαεὺς (Λόγ. κά.) διηγεῖται περί τινος ἀπατεῶνος, τοῦ ἐν τῇ τοῦ Νέρωνος αὐλῇ ἐκ πολλοῦ πετασθήσεσθαι τερατευομένου. Καὶ Σβετόνιος (Βιβλ ς'. Κεφ. ιβ) ὁ ἐν ἔτει ριβ'. ἐπὶ Τραϊανοῦ γνωριζόμενος. ἱστορεῖ περί τινος, ὅτι ἐνώπιον τοῦ Νέρωνος πετασθεὶς, καὶ καταῤῥαχθεὶς, συνετρίβη· ὥστε καὶ αἱ ῥανίδες τοῦ ἐξ αὐτοῦ αἵματος κατὰ τὸν συντριμμὸν ἐκπηδήσασαι περιερράντισαν ἕως καὶ αὐτὸν τὸν θρόνον, ἐφ' οὗ ὁ Νέρων θεατὴς ἐκαθέζετο Μήτοι οὗτος ἦν ὁ Σαμαρεὺς γόης; ἴσως

16) Μέτιθι Ἰώσηπ. περὶ Ἁλώσ. Βιβλ. Β'. Κεφ. κέ κξ.

στα δὲ ἦσαν τῶν εἰς Χριστὸν πεπιστευκότων οἱ καταφυγόντες ἐκεῖ, ὡς βλέποντες τὴν Ἱερουσαλὴμ κυκλουμένην ὑπὸ στρατοπέδων, καὶ πληροφορούμενοι, ὅτι ἐγγὺς ἡ ἐρήμωσις αὐτῆς [17]).

ΕΤΟΣ ΞΖ'.

§ 244.

Τοῦ κατὰ τῶν Ἰουδαίων πολέμου ἤδη συνεστῶτος, ὁ Νέρων κατὰ Ῥώμην, καὶ τὴν Ἑλλάδα περιάγων, κιθαρῳδίαις τε καὶ Τραγῳδίαις, καὶ ἄλλοις τοιουττρόποις ἀγωνίσμασιν ἐσχόλαζέτε, καὶ διεπόμπευεν [1]· ἐπειδὴ δὲ ἐν ᾧ αὐτὸς ἐσκηνοβάτει, Κέστιος ὁ Γάλλος τὴν Ἱερουσαλὴμ πολιορκήσας οὐδὲν κατώρθωσεν· ἀλλὰ καὶ ὁ ὑπ' ἐκείνου στρατὸς Ῥωμαίων οὐ μικρὰν ἐπλήγη τότε πληγὴν, ὑπὸ τῶν Ἰουδαίων τραπεὶς, ἀναγκάζεται ὁ Νέρων, καὶ στρατηγὸν ἄλλον ἐκλέγει τὸν Οὐεσπασιανόν· ὅστις πολλὰ τῶν κατὰ τὴν Γαλιλαίαν τε καὶ Ἰουδαίαν ἄστεα ὑποχείρια πρῶτον ποιησάμενος, τέως δύναμιν περὶ αὐτὸν ἔχων χιλιάδων ὡσεὶ ἑξήκοντα, ἔργον ὑπόλοιπον ἔσχε τὴν τῆς Ἱερουσαλὴμ αὐτῆς ἅλωσιν [2]).

---

17) Λουκ. ΚΑ'. 20. κξ. ὅρα Εὐσέβ. Ἐκκλ Ἱστορ. Βιβλ. Γ'. Κεφ. Ε'. Καὶ Ἐπιφάν. Αἱρέσ. Ναζωρ. ΚΘ'. Κεφ. ζ'. Καὶ ἐν τοῖς περὶ Μέτρ καὶ Σταθμ. ἔνθα φησὶν ὅτι οἱ χριστιανοὶ ὑπὸ Ἀγγέλου διαμηνυθέντες εἰς Πέλλαν διεσώθησαν. Ὁ δὲ Δοσίθεος ἐν τοῖς περὶ τῶν ἐν Ἱεροσολ. Πατριαρχευσ. Βιβλ. Α'. Κεφ. Β'. § ά. Σελ. 5. προστίθησιν, ὅτι φεύγοντες ἔλαβον μεθ' ἑαυτῶν καὶ τὴνξυλίνην Καθέδραν τοῦ Ἁγίου Ἰακώβου, «καὶ τὴν ἐφύλαξαν» εἰ δὲ μὴ (λεγει) ἤθελεν ἀπολεσθῇ καὶ κατακαυθῇ κτ. ὡσὰν νὰ ἐπεκάθητο εἰς τὴν ξυλίνην Καθέδραν ἡ τῆς ἐπισκοπῆς δύναμις. Ἀλλ' εἰς πολλὰ τοιαῦτα λίαν ἀφελὴς καὶ ἁπλοϊκὸς φαίνεται ὁ Δοσίθεος.

1) Εὐσέβ. ἐν τοῖς χρονικοῖς.

2) Ἰώσηπ. περὶ ἁλώσ. Βιβλ. Γ'. Κεφ. ΙΑ'. περὶ τούτων μέτιθι καὶ τὸν Σβετόν. καὶ τὸν Ξιφιλῖνον.

ΕΤΟΣ ΞΗ'.

§ 245.

Ἐνταῦθα τάσσομεν τὸ τῶν πρωτοκορυφαίων Ἀποστόλων, Πέτρου καὶ Παύλου ἐν Ῥώμῃ μαρτύριον, ὅπερ οἱ μὲν [3]), ἐν τῷ ἀνωτέρῳ ἔτει ξζ'. συμβὰν ὑποτιθέασιν· ὁ δέ Εὐσέβιος [4]), κατὰ τὸ ἐφεξῆς ξθ'. παρασημειοῦται, ὅ τῆς Νέρωνος Βασιλείας ἦν τὸ ΙΔ'. καὶ ἔσχατον. Τούτων οὖν, τοῦ μὲν Παύλου τὴν κεφαλὴν προστάξας ὁ Νέρων ἀποτμηθῆναι [5]), τὸν Πέτρον κάτω κάρα ἀνασταυρωθῆναι ἐκέλευσεν, ἐπιτρέψας, ὥς τινες [6]) ἔγραψαν.

§ 246.

Πρῶτος Ῥώμης Ἐπίσκοπος μετὰ τὸν τῶν Ἀποστόλων θάνατον ἐχρημάτισε Λῖνος· [7]) καθῷς καὶ δεύτερος τῆς Ἀντιοχέων Ἐκκλησίας Ἰγνάτιος [8]). Κατὰ μὲν οὖν τὰς τῶν Ἀποστόλων διαταγὰς [9]), ὁ Λῖνος προεβιβάσθη Ῥώμης Ἐπίσκοπος ὑπὸ Παύλου· ὅστις ἐκεῖνον, καὶ ἔντινι τῶν ἐπιστολῶν [10]) μέμνηται. Κατ' ἄλλην δὲ παράδοσιν [11]), ὁ

---

3) Διονύσ. Πετάβιος ἐν τῷ Λογιστηρίῳ τῶν χρόνων, Μέρ. Α'. Βιβλ Ε'. Κεφαλ. Γ'. ἐν δὲ τῷ Ἀλεξανδρ. χρονικῷ, καὶ ἔτι ἀνωτ. ἐν ἔτει δηλ. ξς.

4) Ἐν τοῖς χρονικοῖς.

5) Χρυσόστομ. ὁμιλ. Β'. εἰς τὴν πρὸς Ῥωμ. Καὶ Ἱερώνυμ. ἐν τῷ περὶ τῶν Συγγραφ.

6) Ἀμβρόσιος ἐν τοῖς ψαλμοῖς εἰς τὸν ριή. Εὐσέβ ἐν Γ'. τῶν περὶ τῆς. Εὐαγγελ. Ἀποδ. Σελ. 75. Καὶ Αὐγουστ. ὁμιλ. κή περὶ τῶν Ἁγίων.

7) Εἰρηναῖος Βιβλ. Γ'. Κεφ. γ'.

8) Εὐσέβ ἐν τοῖς χρονικοῖς τὴν τούτων ἑκατέρου διαδοχὴν ἐχρονολόγησεν ἐν τῷ ἐφεξῆς ἔτει ξθ', ἤ ἐν τῷ ὁ.

9) Διαταγ. Βιβλ. Ζ'. Κεφ. μς'

10) Β'. πρὸς Τιμόθ. Κεφ. Δ'. 21.

11) Τερτυλλίαν. ἐν ταῖς Προγραφαῖς. Καὶ Ἐπιφάν. Αἱρέσ. ΚΖ'. Καὶ Ῥουφῖνος ἐν τοῖς Ἀναγνωρισμοῖς Μέρ. Α'.

Πέτρος εἰς τὴν Καθέδραν τῆς Ῥώμης εἶχε διορίσει τὸν Κλήμεντα· πλὴν, ἀλλ' ὁ Ἱερὸς Ἐπιφάνιος παρεσημείωσεν [12]), ὅτι ὁ Κλήμης παρητήσατο τὴν προεδρείαν, ἕως οὗ περιῆσαν ζῶντες Λῖνος τε καὶ Ἀνάκλητος. Ἡ κοινοτέρα τοίνυν γνώμη [13]), πρῶτον τῶν Ἀποστόλων διάδοχον ἐπὶ τῆς Ῥωμαϊκῆς Καθέδρας κυροῖ τὸν Λῖνον· μεθ' ὃν Ἀνάκλητος προέστη· μεθ' ὃν Κλήμης.

§ 247.

Ἡ Β'. τῶν Καθολικῶν τοῦ Πέτρου ἐπιστολῶν, πρεπόντως κατὰ τοῦτο, ἢ κατὰ τὸ ἀνωτέρω ξζ'. ἔτος χρονολογεῖται. Ἐπειδὴ ἐξ αὐτῆς [14]), μανθάνομεν, ὅτι οὐχὶ πολὺν χρόνον πρὸ τοῦ θανάτου αὐτοῦ, ὑπὸ τοῦ Ἀποστόλου ἐγράφη.

§ 248.

Λέγουσιν ὅτι ὁ Εὐαγγελιστὴς Μάρκος, παρὼν εὑρέθη ἐν Ῥώμῃ ἐπὶ τῆς τῶν Ἀποστόλων ἀθλήσεως. Ἐκεῖθεν δ' ἔπειτα ἀπάρας εἰς Ἀλεξάνδρειαν, ἧς ἤδη πρότερον εἶχεν ἀποκαταστήσει τὸν Ἀνιανὸν [15]) Ἐπίσκοπον· ἐν αὐτῇ τὸν τοῦ μαρτυρίου ὑπέστη καὶ αὐτὸς θάνατον, ἐν ἔτει ξῆ [16]).

ΕΤΟΣ ΞΘ'.

§ 249.

Τοῦ Νέρωνος κακῶς τὸ ζῆν καταστρέψαντος, καὶ τοῦ γέροντος Γάλβα, τὸν Ῥώμης Αὐτοκρατορικὸν ἐπικαταλα-

11) Ἔνθ. ἀνωτ. εἴρηται.
12) Ὅρα καὶ Εὐσέβ. ἐν Ἐκκλ. Ἱστορ. Βιβλ. Γ'. Κεφ. β'. καὶ δ'. καὶ κα.
13) Β'. Πέτρου Κεφ. Α'. 14.
14) Ὅρα ἀνωτ. § 235.
15) Εὐτήχ. ὁ Ἀλεξανδρ. ἐν τῷ χρονικῷ.

βόντος θρόνον, ὁ Οὐεσπασιανὸς τοῦ πολέμου ἀνακωχὴν ποιησάμενος, διαπέμπει εἰς τὴν Βασιλεύουσαν Τῖτον τὸν υἱὸν, περιμένων τὰ τοῦ ἀρτίως βασιλεύσαντος ἐπιτάγματα. Ἀλλ' ὁ Τῖτος καθ' ὁδὸν μαθὼν ἀναγγέλλει τῷ ἰδίῳ πατρὶ τὴν ὀξείαν τοῦ Γάλβα καταστροφὴν, τοῦ ἑπτάμηνον μόνον ἐπὶ τῆς Ἀρχῆς διαζήσαντος, διὰ δὲ τὴν ὑπερβάλλουσαν αὐτοῦ φιλοχρηματίαν, ἐν μέσῃ αὐτῇ Ῥωμαίων ἀγορᾷ ὑπὸ τῶν στρατιωτῶν κατατομηθέντος, καὶ τοῦ Ὄθωνος ἀντ' αὐτοῦ χειροτονηθέντος [1]). Ὃς δὴ καὶ οὗτος ὑπὸ Βιτελίου νικηθεὶς, αὐτόχειρ ἐφθάρη, ἐπὶ τρισὶ καὶ μόνοις μησὶ τῆς ἀρχῆς ὁπολαύσας [2]). Καὶ οὐδ' ὁ Βιτέλιος αὐτὸς ὅμως μετὰ Ὄθωνα ἔσχε τὴν Ἀρχὴν μακροχρόνιον· ὑπὸ γὰρ Φλαβίου Οὐεσπασιανοῦ καὶ οὗτος, μετὰ Θ'. ἢ ἰ. μῆνας, ἐν μέσῳ μὲν τῆς Ῥώμης κατετροπώθη, ἐν μέσῳ δὲ τοῦ παλατίου ἀπεσφάγη [3]). Οὐεσπασιανὸς οὖν διὰ βίου αὐταρχήσας, ἐπὶ ἔτεσι δέκα ἐνδόξως τε καὶ εὐτυχῶς ἐβασίλευσε. Καὶ εὐδοκίμησεν ἄρα ἐπὶ τῇ τοῦ μέλλοντος προρρήσει ὁ Ἰουδαῖος ἱστορικὸς Ἰώσηπος, εἴτε ἐξ εἰκασίας τεκμηράμενος, εἴτε παρὰ τὸν ἐπιστάντα κίνδυνον ἐνθουσιάσας, ὅτε ἀναιρεῖσθαι μέλλων ἐν τῷ πολέμῳ, ὡς δωρυάλωτος γεγονὼς, τήν τε τελευτὴν τοῦ Νέρωνος προεῖπε, καὶ τῷ Οὐεσπασιανῷ αὐτῷ τὴν Βασιλείαν ἐθεσπιώδησεν [4]).

§ 250.

Κατὰ τοῦτον, ἢ τὸν ἐφεξῆς χρόνον, Εὐοδίου πρὸς

1) Εὐσέβ ἐν τοῖς χρονικ. Καὶ ἐν Σβετὸν. τῷ Γάλβᾳ, καὶ Ξιφιλῖνος.
2) Εὐσεβ. ἐν τοῖς χρονικ. Καὶ Σβετόν. ἐν Ὄθωνι καὶ Βιτελίῳ. Καὶ Πλουτ. ἐν Ὄθωνι. Καὶ Ξιφιλῖνος.
3) Αὐτοι αὐτ.
4) Εὐσέβ. ἐν τοῖς χρονικοῖς.

Κύριον ἐκδημήσαντος, ἐπὶ τὸν Ἀντιοχείας προεβιβάσθη θρόνον Ἰγνάτιος ὁ Θεοφόρος ἐπλικληθείς· ὅτι αὐτὸς ἦν τὸ νήπιον ἐκεῖνο, τὸ ὁποῖον βαστάσας ὁ Σωτὴρ, ἐπρόβαλε τοῖς Ἀποστόλοις εἰς μίμησιν ἁπλῆς καὶ ἀκάκου ἀκεραιότητος [5]). Οὕτως ἔγραψάν τινες [6]) ἐξ ἀδήλου παραδόσεως· καθ' οὕς καὶ ἔπρεπε πάντως νὰ ὀνομάζεται διὰ τοῦτο ὁ Ἰγνάτιος Θεόφορος, οὐχὶ Θεοφόρος. Ἀλλ' ὅπως ἂν ἔχοι τὸ περὶ τούτου, ἐκεῖνο εἶναι βέβαιον, ὅτι ὁ Θεοφόρος οὗτος ἀνὴρ, συνήθης ἦν καὶ ἀκουστὴς τῶν Ἀποστόλων, συνδιατρίβων αὐτοῖς, καὶ ῥητῶν κοινωνήσας καὶ ἀπορρήτων κατὰ τὸν θεῖον Χρυσόστομον· [7]) ἐὰν οὖν ὑποτεθῇ, ὅτι ἐχειροτονήθη εἰς τὴν ἐπισκοπὴν τῆς Ἀντιοχείας ὑπὸ τοῦ Ἀποστόλου Πέτρου, ὡς ἱστορεῖ Θεοδώριτος [8]). Ἀνάγκη εἶναι, ἢ τὸν Ἰγνατίου προβιβασμὸν χρόνους ὀλίγους νὰ διορίσωμεν πρότερον. ἢ τὴν τῶν Κορυφαίων ἄθλησιν χρόνους τινὰς ὕστερον. Ἴθυνε δὲ τὴν Ἀντιοχέων Ἐκκλησίαν ὁ Θεοφόρος Ἰγνάτιος, ἐνιαυτοὺς ὡσεὶ τεσσαράκοντα [9])

ΕΤΟΣ Ο'.

§ 251.

Ἐπαναλαμβάνεται ἡ τῆς Ἱερουσαλὴμ πολιορκία, στρατηγοῦντος Τίτου, υἱοῦ τοῦ Οὐεσπασιανοῦ, κατὰ τὰς

---

[5]) Ματ. ΙΗ. 3.

[6]) Ὁ Μεταφραστής. Καὶ Νικηφ. Κάλλιστ. Ἐκκλ. Ἱστορ. Βιβλ. Β'. Κεφ. λέ. Ὅρα καὶ Λουπῖνον ἐν τῷ χρονολογικῷ πίνακι τῶν Ἐκκλ. Συγγραφέων ὅς γράφει, ὅτι καὶ ἑπτάετες ἦν παιδίον, ὅτε ὁ Ἰγνάτιος ἐν χερσὶν ἐβαστάχθη τοῦ πάντα βαστάζοντος.

[7]) Ἐν ὁμιλ. εἰς τὸν Θεοφόρ Ἰγνάτ.

[8]) Ἐν Διαλόγῳ Α'.

[9]) Ὅρα Εὐσέβ. Ἐκκλ. Ἱστορ. Βιβλ. Γ'. Κεφ κβ'.

ἡμέρας τῶν Ἀζύμων· Ἀπριλίου ΙΔ'. Οἱ πολιορκοῦντες κατὰ τὴν ιζ'· τοῦ Ἰουλίου καθελόντες τὸν Ἀντωνίου Πύργον, ἐγγίζουσιν εἰς τὸν Ναὸν, καὶ κατ' αὐτὴν τὴν ἡμέραν ἔπαυσε τοῖς Ἰουδαίοις τὸ Ταμίδ. ἡ ἐνδελεχὴς δηλαδὴ θυσία, δι' ἔλλειψιν τοῦ προσοίσοντος. Τῇ Ι. τοῦ Αὐγούστου ὁ Ναὸς πυρπολεῖται· καὶ (μὴ δυνηθέντος οὐδὲ αὐτοῦ τοῦ Ἀρχιστρατήγου Τίτου σβέσαι τὴν πυρκαϊὰν) ὁλοτελῶς κατακαίεται· ἐσημειώθη δὲ, ὅτι κατὰ τὴν αὐτὴν ἡμέραν, καθ' ἣν καὶ ὁ πρῶτος Ναὸς κατεκάη ὑπὸ Ναβουχοδονόσωρος [10]). Ἐφεξῆς τῇ ή. τοῦ Σεπτεμβρίου, πυρὶ καὶ σιδήρῳ ἡ πόλις ὅλη, καὶ εἴτι τοῦ Ναοῦ ὑπελείπετο, κατασκάπτεται, καὶ, διὰ προσταγῆς τοῦ στρατοπεδάρχου, τὸ ἔδαφος ἀροτριᾶται. Ἀριθμοῦσιν ρί. μυριάδας τοὺς λιμῷ καὶ μαχαίρᾳ κατὰ τὴν πολιορκίαν ἀπολωλότας. Συνεπιλογιζομένων ὅμως τῶν κατὰ πάντα τὸν καιρὸν τοῦ πολέμου, ἐξ ἀρχῆς ἄχρι τέλους (ὅσοι ἔγιναν φανεροί·) διαφθαρέντων, ὁ ἀριθμὸς ὑπερφυῶς κορυφοῦται εἰς 1337490. Παρὰ τοὺς πεπτωκότας τούτους, καὶ ὁπωσδήποτε τελευτήσαντας, τῶν μετὰ τὴν ἐκπολιόρκησιν ἔτι ζώντων ἐννενήκοντα ἑπτὰ χιλιάδες ἀπεμπωλήθησαν. καὶ ἂν δὲν ἐξέλειπον οἱ ἀγορασταὶ, ἐπωλοῦντο ἴσως ἔτι καὶ πολὺ πλείονες [11]).

ΕΤΟΣ ΟΑ'.

§ 252.

Τροπαιοφορήσας ὁ Τίτος, μετὰ πλήθους τῶν ἐπισημοτέρων αἰχμαλώτων, καὶ μετὰ πλουσιωτάτων λαφύ-

---

[10]) Ἰώσηπ. Ἀλώσ. Βιβλ. Ζ'. Κεφ. κζ'.

[11]) Ὁ Αὐτὸς αὐτ Κεφ. μ' — μζ'.

ρων, πλέει εἰς Ῥώμην· ἔνθα συνάμα τῷ Βασιλεῖ καὶ πατρὶ Οὐεσπασιανῷ θριαμβεύει· ἐπὶ τοῦ πομπικοῦ τούτου θριάμβου, οὗπερ ἡ πρόοδος προήγετο ἕως εἰς τὸν Ναὸν τοῦ Καπιτωλίνου Διὸς, εὑρέθησαν ἑπτακόσιοι τῶν μεγαλοσωμοτέρων Ἰουδαίων, καὶ Ἰωάννης, καὶ Σίμων ὁ Γιώρας, οἱ ἐξάρχοντες τῶν στασιαστῶν. Ὧν ὁ δεύτερος, κατὰ τὸ Ῥωμαίοις Πάτριον ἔθος, βρόχῳ περιβληθεὶς, εἵστε τὴν ἀγορὰν οὕτως ἑλκόμενος, καὶ καταικιζόμενος, παρεδόθη τέως εἰς θάνατον. Κατεστόλιζον τὴν προπομπὴν, τὸ Ἱερὸν Βιβλίον τοῦ Νόμου, τὸ πορφυροῦν καταπέτασμα τοῦ Ἁγιάσματος, ἡ πολυτάλαντος χρυσῆ τράπεζα, ἡ ἑπτάφωτος λυχνία, τὰ ἱερὰ ἄλλα τοῦ Ναοῦ σκεύη, πολλὰ καὶ διάφορα [12]). Ταύτης δὲ μαρτύριον τῆς πομπείας, καὶ νῦν εἰσέτι ἐπιδείκνυται, ἡ τότε μὲν ἐγερθεῖσα, καὶ νῦν δὲ μέχρι τῶν καθ' ἡμᾶς χρόνων ὁρωμένη ἐν Ῥώμῃ θριαμβευτικὴ Καμάρωσις· καὶ προσέτι καὶ τὸ νόμισμα τὸ κατ' ἐκεῖνον τὸν καιρὸν τυπωθὲν, ἐν ᾧ παρίσταται γυνὴ ὑπὸ φοίνικι καθημένη ἐν ἐλεεινῷ καὶ πενθήρει τῷ σχήματι, μετὰ τῆς ἐπιγραφῆς Judaea capta· ἡ Ἰουδαία ἁλοῦσα. Μετὰ τοὺς εἰρημένους θριάμβους ὁ Οὐεσπασιανὸς ᾠκοδόμησε τὸ Τέμενος τῆς Εἰρήνης, μεγαλοπρεπῶς αὐτὸ κατακοσμήσας, καὶ ἀναθέμενος ἐν αὐτῷ πάντα τά ἐκ τοῦ Ἱεροῦ τῶν Ἰουδαίων χρυσᾶ σκεύη τε καὶ κοσμήματα [13]).

---

[12]) Ἰώσηπ. Ἁλώσ. Ζ. Κεφ. ιε'. ιζ'. ιθ'.
[13]) Αὐτ. αὐτ. Κεφαλ. ιθ'.

Ἔτος ΟΒ'.

§ 253.

Κατὰ τὸν χρόνον τοῦτον, Ἰωνάθας τις τὴν τέχνην ὑφάντης, ἐκίνησεν εἰς στάσιν τοὺς κατὰ Κυρήνην Ἰουδαίους, σημεῖα τε παντοῖα καὶ φάσματα ἐπιδείξειν αὐτοῖς ὑπισχνούμενος· ὅθεν καὶ πολλοῖς καταστροφῆς παραίτιος καταστὰς, αὐτὸς τέως συλληφθεὶς, καὶ εἰς Ῥώμην ἀπαχθεὶς πρὸς Οὐεσπασιανὸν, σφοδρῶς τε πρότερον καταικισθεὶς, ζῶν κατεκαύθη [14]).

§ 254.

Λοῦπος δὲ ὁ Ἔπαρχος τῆς Αἰγύπτου, τό τῶν Ἰουδαίων ἐν Ἀλεξανδρείᾳ ἀπέκλεισε περίφημον τέμενος, τὸ καλούμενον Ὀνεῖον. Ἦν δὲ ὁ Ναὸς ἐκεῖνος ὁ ὑπὸ Ὀνίου Σίμωνος, (υἱοῦ ἑνὸς τῶν ἐν Ἱεροσολύμοις Ἀρχιερατευόντων, τοῦ φυγόντος τὸν τότε πολεμοῦντα Ἀντίοχον·) ἀδείᾳ τοῦ Βασιλέως Πτολεμαίου τοῖς Ἰουδαίοις οἰκοδομηθεὶς [15]), πρὸ ἐνιαυτῶν δηλονότι τριακοσίων τεσσαράκοντα καὶ τριῶν.

Ἔτος ΟΓ'.

§ 255.

Ἐν τοῖς ἐφεξῆς τῆς Αὐτοκρατορίας αὐτοῦ χρόνοις ὁ Οὐεσπασιανὸς τήν ἐν πάσαις ταῖς τῆς Ἰουδαίας χώραις διαπιπράσκων γῆν, ἐχρηματίζετο. Καταστήσας δὲ εἰς τὸ χωρίον Ἐμμαοὺς (ὅ Νικόπολιν μετωνόμασε·) στρα-

---

[14]) Ἰώσηπ. Ἁλώσ. Βιβλ. Ζ. Κεφ. λή' λθ'.
[15]) Ἰώσηπ. Ἁλώσ Ζ. Κεφ. λζ'.

τιώτας ὀκτακοσίους εἰς φρουράν· φόρον ἔταξε κατ ἐνιαυτὸν εἰς τὸ Καπιτώλιον, δραχμὰς δύο ἕνα ἕκαστον τῶν Ἰουδαίων τελεῖν, καθὰ πρότερον εἰς τὸν ἐν Ἱεροσολύμοις Ναὸν συνετέλουν τὸ δίδραχμον [16]). Ἦν γὰρ χρηματιστὴς ἄλλως ὁ Οὐεσπασιανὸς ἀκριβὴς, ὥστε καὶ ἐπὶ τῶν Οὔρων τάξαι δασμόν· προεβάλλετο δὲ εἰς ἀπολογίαν τῶν Ἀναλωμάτων τὴν ὑπερβολὴν, καὶ τὴν τῶν Ταμείων ἔνδειαν· οὗτος καὶ τὸ Καπιτώλιον ἐμπρησθὲν, ἀνωκοδόμησεν [17]).

Ἔ Τ Ο Σ Ο Α′. Ο Ε′.

§ 256.

Τοὺς ἀπὸ γένους τοῦ Δαβὶδ ὁ Οὐεσπασιανὸς ἀναζητεῖσθαι προσέταξεν, ἵνα μηδεὶς ἔτι ἐπὶ γῆς τῶν ἀπὸ τῆς Βασιλικῆς τοῖς Ἰουδαίοις περιλειφθείη φυλῆς, ὥστε μέγας πάλιν ἐκ τούτου τῷ Ἰουδαϊκῷ ἔθνει ἐπήρτητο διωγμός [18]). Ἀλλ' οὐδ' οὕτως ἔμπης τό Ἱερὸν ἀπαλεῖψαι γένος, ἢ τοῦ κόσμου τότε κατίσχυσε δύναμις.

§ 257.

Ἐν ἔτει οέ. χρονολογοῦσι τινὲς, τὴν τοῦ Ἀποστόλου Ἰούδα Καθολικὴν ἐπιστολήν. Οἱ δὲ ἀκριβέστεροι θέλοντες εἶναι [19]), ὅρους ἔθεντο τὰ ό. καὶ οέ. ὧν μεταξὺ πλατυκώτερον μέν, πιθανώτατα δὲ, ἀναταχθῆναι δύνα-

[16]) Ἰώσηπ. Ἀλώσ. Ζ′. Κεφ. κζ′.
[17]) Εὐσέβ. ἐν τοῖς χρονικοῖς.
[18]) Εὐσέβ. ἐν Ἐκκλ. Ἱστορ. Βιβλ. Γ′. Κεφ. ΙΒ′. ἐκ τῶν Ἡγησίππου.
[19]) Βεανσώβρης καὶ Λαμφάντης, ἐν τῇ Ἑρμηνείᾳ τῆς Καιν. Διαθήκ. Γαλλιστὶ. ἐν τῷ Προλόγῳ τῷ πρὸ τῆς Ἰούδα Καθολ. Ἐπιστολ. Ὅρα καὶ Καβέον περὶ τῶν Ἐκκλησ. Συγγραφ. ἐν Λίῳνι τῷ Ἀποστολικῷ. Σελ 15.

ται ἡ ἐπιστολὴ αὕτη· ἐκεῖνο βέβαιον ὑπολαμβάνοντες, ὅτι ὁ Ἀπόστολος Ἰούδας ἔγραψε τὴν Καθολικὴν αὐτοῦ ἐπιστολὴν ταύτην, μετὰ τὴν δευτέραν τῶν τοῦ Πέτρου ἐπιστολῶν· πρὸς ἣν φαίνεται ὅτι ἀφορᾷ. Καὶ ὅτι τὴν ἔγραψε πρὸς αὐτοὺς ἐκείνους, τοὺς ἐν τῇ Διασπορᾷ πιστοὺς, πρὸς οὕς πρότερον γράψας καὶ ὁ Πέτρος, καθ' ἕνα καὶ τὸν αὐτότατον σκοπόν· ὡς γίνεται φανερὸν (λέγουσιν) ἐξ αὐτῆς πρὸς ἀλλήλας τῆς τῶν ἐπιστολῶν παραθέσεως [20]).

Ἔ Τ Ο Σ Ο Ϛ′.

§ 258.

Ἐν τούτῳ τῷ ἔτει ἀνεστάθη ὁ ἐν Ῥώμῃ χάλκινος Κολοσσὸς, μῆκος ποδῶν ἔχων ἑκατὸν εἴκοσι καὶ ἑπτά· [1]) ἤ ρζ′. ἤ ρβ′. ἤ ρ′. ὡς ἄλλοι ἄλλως ἐμέτρησαν. Τὸν Κολοσσόν τοῦτον ἑαυτῷ μὲν ὁ Νέρων ἐχάλκευσεν. Οὐεσπασιανὸς δὲ τὴν κεφαλὴν ἀφελόμενος τοῦ Κολοσσιαίου τυράννου, τὴν τοῦ Ἡλίου, τουτέστι τὴν τοῦ Ἀπόλλωνος ἀντέθηκεν, ἀκτῖσι χρυσαῖς περιστέψας ἑπτὰ, τὸ μῆκος ἑπταπόδοις. Ἀλλ' ὁ Κόμμοδος ὕστερον, τὴν τοῦ Ἀπόλλωνος πάλιν ἀφείλετο κεφαλὴν ἀπὸ τῆς εἰκόνος, τὴν δὲ ἰδίαν ἑαυτοῦ ἐπεκορύφωσεν [2]).

§ 259.

Ὡς δ' ἀπατᾶται Νικηφόρος ὁ Κάλλιστος, ὁ τὸν ἐν Ῥόδῳ τότε Κολοσσὸν ὑπὸ τῶν Ῥοδίων ἀνατεθεῖσθαι τῷ

[20]) Παράθου Ἐπιστ. Ἰούδ. Ἐδαφ. ιζ′. Καὶ Α′. Πέτρου Α′. 1. καὶ Β′. Πέτρου Γ′. 1
[1]) Εὐσέβ. ἐν τοῖς χρονικοῖς.
[2]) Ἰώσηπ. Σκαλίγερος, ἐν ταῖς εἰς τὰ Εὐσέβ. χρονικ. παρατηρήσεσιν.

Διὶ ἐξιστορῶν [3]), τὸν ἐπὶ εἴκοσι καὶ ἑκατὸν πόδας εἰς ὕψος ἐκτρέχοντα. Ὁ τῆς Ῥόδου Κολοσσὸς, ὁ εἰς ρν'. ποδῶν ὕψος ἀνατρέχων [4]), τὸ Χάρητος τοῦ μαθητοῦ τοῦ περιφήμου Λυσίππου δημιούργημα· οὗ τὸν ἀντίχειρα μόνον, καὶ ὁ πλέον μακρόχειρ περιπλακῆναι μόλις ἠδύνατο ἐναγκαλισθείς· ὁ Κολοσσὸς ἐκεῖνος (φημὶ), οὐχὶ τῷ Διΐ, ἀλλὰ τῷ Ἀπόλλωνι ἀφιέρωτο, ἤ τῷ Ἡλίῳ· καὶ οὐχὶ ἐν τούτοις τοῖς χρόνοις, ἀλλὰ τριακοσίους σχεδὸν ἐνιαυτοὺς πρὸ τῆς τοῦ Κυρίου ἐνσαρκώσεως ἱδρυται· μετὰ δὲ ἔτη ἑξήκοντα ἀπὸ τῆς αὐτοῦ καθιδρύσεως, σεισμῷ τιναχθεὶς κατέπεσε· καὶ πεσὼν πτῶμα ἔμενε δι' ἐτῶν ὀκτακοσίων ἐννενήκοντα τεσσάρων· ἤτοι: ἕως τοῦ μετὰ Χριστὸν 672. ὅτε Μωαβίας ὁ ἕκτος τῇ διαδοχῇ τῶν Καλίφων, ἐκπολιορκήσας τὴν Ῥόδον, ἐπώλησε τὸν χαμαὶ κατακείμενον Κολοσσὸν Ἰουδαίῳ τινὶ ἐμπόρῳ· ὅστις διὰ νὰ μεταφέρῃ ἐκεῖθε τὸν χαλκὸν εἰς κομμάτια, ἐχρειάσθῃ νὰ ἐπιφορτίσῃ ἐννεακοσίας Καμήλους [5]).

ΕΤΟΣ ΟΖ'. ΟΗ'.

§ 260.

Ἐν Κύπρῳ τρεῖς πόλεις σεισμῷ κατεπτώθησαν [6]). Τούτων δὲ μνεία γίνεται καὶ ἐν τοῖς Σιβυλλικοῖς [7]).

»Καὶ τότε δὴ Σαλαμῖνα, Πάφον θ' ἅμα σεισμὸν ὀλέσσει.

[3]) Ἐκκλ. Ἱστορ. Βιβλ. Γ'. Κεφ. ιά.
[4]) Πλίνιος Βιβλ. τῆς Φυσ. Ἱστορ. ΛΔ'. Κεφ. Ζ'. Καὶ Στράβων Γεωγρ. Βιβλ. ΙΔ'.
[5]) Μέτιθι Λύγουστ. Καλμέτ. ἐν τῷ Λεξικῷ τῆς θείας Γραφῆς.
[6]) Εὐσέβ. ἐν τοῖς χρονικοῖς.
[7]) Παρὰ Ἰωσήπῳ Σκαλιγέρῳ, ἐν ταῖς εἰς τὸ Εὐσέβ. χρονικ. παρασημειώσεσι.

»Κύπρον ὅταν περίκλυστον ὑπερκλονέῃ μέλαν ὕδωρ. Ἐν δὲ τῷ οἡ. λοιμὸς οὕτως ἰσχυρὸς ἐνέσκηψε τῇ Ῥώμῃ, ὡς ὑπὲρ μυρίους ἐκθνήσκειν ἐπὶ πολλὰς ἡμέρας· [8]) οὗ δὴ λοιμοῦ καὶ ὁ Ἱστορικὸς ἐμνήσθη Σβετόνιος.

§ 261.

Κατὰ τὸν αὐτὸν δὲ χρόνον, ὑπολαμβάνουσί τινες, ὅτι Λῖνος, ὁ μετὰ τοὺς Ἀποστόλους πρῶτος χρηματίσας Ῥώμης Ἐπίσκοπος, πρὸς Κύριον ἐξεδήμησεν· [9]) διοικήσας μὲν τὸν θρόνον ἔτη ιά. καὶ μῆνας β'. καὶ ἡμέρας τινάς. Καταλιπὼν δὲ Κλῆτον διάχοδον, ὅν καὶ Ἀνάκλητον, καὶ Ἀνέγκλητον, ὀνομάζουσι τὸν αὐτόν. Σημειωτέον ὅμως, ὅτι Εὐσέβιος ἐν τοῖς χρονικοῖς ἀναφέρει τὴν Ἀνεγκλήτου ἐπισκοπὴν μετὰ τέσσαρας χρόνους βραδύτερον· τουτέστιν εἰς τὸ ἔτος τὸ πβ'. Καίτοι γὰρ καὶ αὐτὸς ἐν ἄλλοις [10]), ἱστορεῖ τὸν Λῖνον, δυωκαίδεκα ἐνιαυτοῖς τὴν λειτουργίαν κατασχεῖν· ἀλλὰ τὴν διαδοχὴν τοῦ Λίνου, ἐκ τοῦ ξθ'. τελευτῶντος ἴσως ἐνιαυτοῦ. ἤ ἐκτοῦ ὁ. ἀναλογίζεται ἐν τῷ χρονικῷ· καὶ εἰς τὸ πβ'. ἀρχόμενόν που, ἀποπερατοῖ· ὥστε καὶ οὕτως ἐνιαυτοὺς συναποτελεῖσθαι τῆς Λίνου Ἀρχιερατείας τοὺς δυωκαίδεκα. Ἀλλ' ἐπιεικῶς ἡ τῶν πρώτων δ'. ἤ έ. τῆς Ῥώμης Ἐπισκόπων διαδοχὴ, συγκεχυμένη ὡς τὰ πολλὰ ὁμολογεῖται παρὰ πάντων καὶ ἄδηλος.

[8]) Εὐσέβ. ἐν τοῖς χρονικοῖς.
[9]) Διονύσ. Πετάβ. ἐν τῷ Λογιστ. τῶν χρόν. Μέρ. Α'. Βιβλ. Ε'. Κεφ. Ε'.
[10]) Ἐκκλησ. Ἱστορ. Βιβλ. Γ'. Κεφ. ιγ'.

Ἔτος ΟΘ'.

§ 262.

Ἐν τούτῳ τῷ ἔτει Οὐεσπασιανὸς τελευτᾷ, σχεδὸν ὀγδοηκοντούτης τὴν ἡλικίαν προβεβηκὼς, ἐκ λειεντερίας. Φασὶ δὲ ὅτι καὶ τὰ ἔσχατα πνέων ἐχρημάτιζεν ὅμως ἔτι τοῖς ὡς αὐτὸν εἰς πρεσβείαν πολλαχόθεν ἀποστελλομένοις· ἔλεγε γάρ: »ὅτι δέον τὸν Αὐτοκράτορα ἑστῶτα θνήσκειν, καὶ μὴ κατακείμενον· ἔλεγε δ' ἔτι ψυχορραγῶν: οἶμαι δή, ὡς ὅσον οὔπω ἐκθεωθήσομαι· ἀποσκώπτων δηλονότι εἰς τὴν ἐν ἔθει οὖσαν πα ρὰ Ῥωμαίοις τελεῖσθαι τῶν ἀποθνησκόντων Αὐτοκρατόρων μάταιον ἀποθέωσιν [11]).

§ 263.

Διαδέχεται δὲ τὸν θρόνον Τῖτος, πρῶτος αὐτὸς ἐπὶ τῆς Αὐτοκρατορίας καὶ γνήσιος υἱὸς τοῦ Οὐεσπασιανοῦ καὶ διάδοχος. Οὗτος πρὸ τοῦ βασιλεῦσαι, οὕτως ἀπηνὴς ἐδόκει· καὶ τυραννικὸς, ὡς ὑπὸ πολλῶν καὶ Νέρων ἄλλος ὀνομασθῆναι. Βασιλεύσας δὲ τοσοῦτον ἐπιεικὴς ὤφθη καὶ φιλάνθρωπος, ὥστε τοῦ ἀνθρωπίνου γένους ἐντρύφημάτε καὶ ἀγάπησις προσαγορευθῆναι. Αἱ Τίτου εὐποΐαι ἐξαπλοῦντο ἔτι καὶ πρὸς τοὺς αὐτῷ ἀπεχθανομένους· »οὐδείς ποτε ἀπ' αὐτοῦ ἀπῆλθεν ἀποτυχὼν »τῆς ἐφέσεως· ὅτι καὶ μηδένα δεῖν (αὐτὸς ἔλεγεν) ἀθυ»μοῦντα τοῦ βασιλεύοντος ἀπαλλάτεσθαι. Καί ποτε καὶ ἐπὶ τραπέζης ὢν εἶπεν· »Ἀπώλετόμοι ἡ ἡμέρα (ὦ φίλοι.) καθ' ἣν οὐδένα δηλονότι εὐεργετήσας ἔτυχε [12]).

[11]) *Σβετόν. εἰς τὸν Οὐεσπασ. Κεφ. κδ'. καὶ Λίων.*

[12]) *Σβετόνιος ἐν τῷ Βίῳ καὶ ἄλλοι.*

Ἔτος Π'.

§ 264.

Κατὰ τοῦτο, ἢ κατ' ἀρχὰς τοῦ ἐφεξῆς ἔτους [1]) τὸ Βεζούβιον ὄρος κατὰ κορυφῆς ῥαγὲν, καὶ πῦρ ἐξαίσιον ἀναβλύσαν, κατέφλεξε πᾶσαν τὴν πέριξ χώραν, σὺν ταῖς ἐπ' αὐτῆς Κώμαις, καὶ πόλεσιν· ὥστε τὴν τέφραν φασὶ [2]) μέχρις Ἀφρικῆς, καὶ Συρίας, καὶ Αἰγύπτου διασκεδασθῆναι. Τότε δὲ κατηδαφίσθησάντε καὶ κατεβυθίσθησαν Πομπηϊούπολις καὶ Ἡράκλεια· ἀφ' ὧν καθ' ἡμᾶς τόσα περιεργείας ἄξια ἀνακαλύπτεται ἀνεξορυσσόμενα ἀρχαιότητος δείγματα· πλησίον ἐν ἀγρῷ τότε ὁ γηραιὸς Πλίνιος διάγων, ἐκπηδήσας εὐθέως ἐπολυπραγμόνει φιλοσοφικῶς τὸ πάθος τῆς φύσεως, καὶ προσήγγιζε μᾶλλον καὶ μᾶλλον παρατηρῶν· ἐφόρει δὲ καὶ προσκεφάλαιον ἐπὶ κεφαλῆς, ἵνα μὴ ὑπὸ τῶν καταπιπτόντων ἄνωθεν λίθων χαλαζηδὸν συντριβῇ· ἀλλ' ἀπὸ τῆς ἀποφορᾶς ὅμως τῆς θειώδους βαρυοδμίας ἀποπνιγεὶς ἐξέλιπε [3]).

§ 265.

Τῆς τοῦ Βεζουβίου ταύτης φοβερᾶς ἀπερεύξεως γίνεται μνεία, καὶ ἐν τοῖς Σιβυλλικοῖς ἔπεσιν.

»Ἀλλ' ὁπόταν χθονίης ἀπὸ ῥαγάδος Ἰταλίδος γῆς,

»Πυρσὸς ὑπαστράψας εἰς οὐρανὸν εὐρὺν ἱκάνῃ,

»Πολλὰς δὲ φλέξῃ πόλιας, καὶ ἄνδρας ὀλέσσῃ· κξ.

Ἔνθα τὸ σύμπτωμα ἡ Σιβύλλα ἀναλογίζεται, ὡς ποινὴν

[1]) *Εὐσέβ. ἐο τοῖς χρονικοῖς.*

[2]) *Δίωντε καὶ Ξιφιλῖνος.*

[3]) *Πλίνιος ὁ Νεώτερος Βιβλ. ς'. Ἐπις.* 16.

τοῦ κατὰ τῶν εὐσεβῶν διωγμοῦ, τοῦ ἐπὶ Δομιτιανοῦ ἐγείρεσθαι μέλλοντος.

ΈΤΟΣ ΠΑ'.

§ 266.

Τῖτος τελευτᾷ, ἔτη δύο, καὶ μῆνας σχεδὸν τρεῖς αὐταρχήσας. Ἱστόρηται δὲ ὁ τούτου θάνατος πολυτρόπως. Οἱ μὲν λέγουσιν, ὅτι ὑπὸ νόσου ὁποίας δήποτε τέθνηκεν, ἐν ᾧ χωρί καὶῳ ὁ Πατὴρ αὐτοῦ προτελευτήσας ἦν πρὸ δύο ἐνιαυτῶν [4]). Οἱ δὲ, ὅτι ἐν κιβωτῷ πλήρει χιόνος ἐμβληθεὶς [5]). Οἱ δὲ, ὅτι λαγωὸν τῶν θαλασσίων βεβρωκώς [6]). Οἱ δὲ, ὅτι ἐντὸς Βαλανείου ἀποπνιγείς [7]) Οἱ δὲ, ὅτι ὑπὸ μυίας, εἰς τὸν ἐγκέφαλον αὐτοῦ παρεισδυσάσης, σφακελισθείς [8]). Οἱ πλεῖστοι ὅμως ὑποπτεύονται, ὅτι δηλητηρίῳ φαρμάκι ὑπὸ τοῦ ἰδίου ἀδελφοῦ ἐδολοφονήθη [9]).

ΈΤΟΣ ΠΒ'.

§ 267.

Ἐπίσκοπος Ῥώμης καθίσταται δεύτερος ὁ Ἀνέγκλητος [10]). Ἐν δὲ τῇ Ῥώμῃ ἐμπρισμὸς μέγας ἐγένετο [11]).

---

4) Ἱερώνυμος ἐν τοῖς Εὐσεβίου χρονικοῖς.
5) Δίων παρὰ Σκαλιγέρῳ ἐν ταῖς εἰς τὰ Εὐσέβ. χρονικ. παρατηρήσεσιν.
6) Ὁ τζέτζης Σελ. 103. παρὰ τῷ Αὐτῷ αὐτ.
7) Πλούταρχος περὶ Ὑγιειν. Παραγγελμ.
8) Τοῦτο τοῖς Ἰουδαίοις πέπλασται, παρὰ Σκαλιγίρ. ἔνθ. εἴρηται.
9) Σβετόν. καὶ Δίων, καὶ Ὀρόσιος Βιβλ. Ζ'. Κεφ. ς'.
10) Εὐσέβ. ἐν τοῖς χρονικ. Ὅρα καὶ ἀνωτ. § 262.
11) Εὐσέβ αὐτ.

Καὶ τοῦ ἐμπρισμοῦ φοβερωτέρα ἔτι καὶ ὀλεθριωτέρα, ἡ Δομιτιανοῦ, Βασιλεία. Οὗτος γὰρ μετὰ τὴν τοῦ Ἀδελφοῦ Τίτου τελευτὴν τὸ Κράτος διαδεξάμενος, κατ' ἀρχὰς μὲν ἐπιείκειαν, καὶ δικαιοσύνης πρόσχημα ἐπιδείξας, μετ' οὐ πολὺ δὲ τὸν Τύραννον παραστήσας, βιαιότατός τε καὶ ἀπηνέστατος ἀνεφάνη, καὶ οὐδὲν οὐδὲ τοῦ Νέρωνος αὐτοῦ τὰς ἄλλας αἰσχρουργίας ἀπολειπόμενος [12]).

ΈΤΟΣ ΠΓ'. ΠΔ'.

§ 268.

Δομιτιανὸς τῆς Συγκλήτου ψηφισαμένης αὐτὸς μὲν Κύριος καὶ Θεὸς καλεῖσθαι ἠξίωσε· τὴν δὲ ἰδίαν γυναῖκα Σεβαστὴν ἀνηγόρευσεν [13]).

§ 269.

Οὗτος εὐνουχίζεσθαι τοὺς ἄρρενας ἀπεκώλυσεν· ὅθεν »τις ἐν Αἰγύπτῳ θέλων εὐνουχισθῆναι. Βιβλίδιον ἀνέ»δωκεν ἐν Ἀλεξανδρείᾳ Φήλικι ἡγεμονεύοντι, ἀξιῶν ἐπι»τρέψαι Ἰατρῷ τοὺς διδύμους αὐτῷ ἀφελεῖν· ἄνευ γὰρ »τῆς τοῦ Ἡγεμόνος ἐπιτροπῆς τοῦτο πράττειν ἀπειρῆσθαι οἱ ἐκεῖ Ἰατροὶ ἔλεγον [14]). Καὶ τοῦτο δ' ἄντις τῶν Δομιτιανοῦ ἐπαινέσειεν, ὡς οὐ παρεῖδεν ἀδικουμένην τὴν φύσιν.

---

12) Σβετόν Ξιφιλ.
13) Εὐσέβ. ἐν τοῖς χρονικοῖς.
14) Ἰουστῖν. ὁ μάρτυς παρὰ τῷ Σκαλιγέρ. ἐν ταῖς εἰς τὰ Εὐσέβ. χρονικ. Παρατηρ.

§ 270.

Ὁ δ' αὐτὸς Δομιτιανὸς ἐν ἔτει πδ' τρεῖς τῶν Ἑστιάδων Ἱερειῶν, τῶν παρθενεύειν τέως ἐπαγγελλομένων, καὶ τὸ ἄνθος διατηρεῖν τῆς ἁγνίας ὀφειλουσῶν ἀδιάφθορον, ὥσπερ καὶ τὸ τῆς Ἑστίας πῦρ ἀκατάσβεστον, φθορᾶς ἁλούσας, κατορυχθῆναι ζώσας κατεδίκασε· καὶ διεκδικητὴς ἄρα σωφροσύνης τε καὶ ἁγνίας ἐγίνετο, ὁ πάντων ἀνθρώπων λαγνότατος [15])

Ἔ Τ Ο Σ ΠΕ' — νί.

§ 271.

Δεύτερος Ἀλεξανδρείας Ἐπίσκοπος καθίσταται Ἀβίλιος, ὁ' χρόνους δέκα καὶ τρεῖς τὸν τοὺ Μάρκου θρόνον ἰθύνας [16]). *Λέγουσι δὲ ὅτι ὁ Ἀβίλιος οὗτος, εἷς ἦν ἐκ τριῶν Ἱερέων, οὓς ὁ Ἀπόστολος Μάρκος ἔδωκεν Ἀνανιανῷ, ὃν ἐπὶ τῆς Καθέδρας ἑαυτοῦ διάδοχον προεβίβασεν· συνεργάτας αὐτῷ ἐσομένους, καὶ τῆς ἐκεῖ Ἐκκλησίας συμποίμενας.*

§ 272.

Κατὰ τὸ πέ. ἔτος ὁ Δομιτιανός πολλοὺς τῶν εὐπατριῶν τῆς ῥώμης ἐξήλασεν [17]). *Ὅθεν ἀστείως ὁ Φιλόστρατος* [18]) *εἰπὼν ὅτι ἠκρωτηριάσθη ἡ βουλὴ τοὺς εὐ-*

[15]) *Εὐσέβ. ἐν τοῖς χρονικ. ὅρα καὶ Φιλόστρατον Βιβλ. Ζ. παρὰ τῷ Σκαλιγέρῳ, ἐν ταῖς εἰς τὸ Εὐσέβ. χρονικ. παρατηρήσεσιν.*

[16]) *Εὐσέβ. ἐν τοῖς χρονικ. καὶ ἐν τῇ Ἐκκλησ. Ἱστορ. Ββιλ. Γ'. Κεφ ιδ'.*

[17]) *Εὐσέβ. ἐν τοῖσ χρονικοῖς.*

[18]) *Βιβλ. Ζ. τῶν εἰς τὸν Βίον Ἀπολλωνίου τοῦ Τυανέως.*

δοκιμωτάτους, ἔδωκε νὰ συλλογισθῶμεν, ὅτι ὁ ἀπαγορεύων τὸν κατὰ μέρος ἄνθρωπον εὐνουχίζεσθαι, τὴν πόλιν εὐνούχιζεν.

§ 273.

Κατὰ τό πς'. ὠκοδόμησεν ὁ Δομιτιανὸς τὸν ἐν Ῥώμῃ Ναὸν τὸν Ἄξυλον· [19]) *πότερον δὲ ἆρα, ὅτι οὐδόλως ξύλον ἔλαβε χώραν εἰς τὴν ἐκείνου ἐξοικοδόμησιν, τὸν Ναὸν Ἄξυλον ὠνόμασαν; ἢ κατὰ Γραφικὸν παρεισφρῆσαν σφάλμα, Ἄξυλον ἀναγινώσκομεν, ἀντὶ Ἄσυλον, ὥστις* [20]) *ὑιπέλαβεν.*

§ 274.

Περὶ τὰ θεάματα ἐκδοτος ὢν ὁ Δομιτιανὸς, καὶ ἀφειδὴς τὰς εἰς ταῦτα δαπάνας, συνέστησε μεταξὺ τῶν ἄλλων, ἐν ἔτει πζ'., καὶ ἀγῶνα πενταετηρικὸν [21]). *Διὶ τῷ Καπιτωλίῳ ἀφοσιώσας τοῦτον τρισσὸν·* [22]) *Μουσικὸν, Ἱππικὸν, γυμνικόν.*

§ 275.

Ἐν τῷ αὐτῷ ἔτει (πζ'.), ἐξ αἰτίας τῶν βαρυτάτων καὶ ὑπερόγκων δασμῶν, συνέβησαν καὶ ἐκ τῶν Δάκων παρὰ τ Ἴστρω, καὶ τῶν Νασαμώνων τῶν ἐν Λιβύῃ, ἐπαναστάσεις· καὶ δὴ, καὶ ὁ τούτων ὄλεθρος [23]). *Περὶ δὲ τῶν Νασαμώνων Ἱστοροῦσιν* [24]), *ὅτι κατ' ἀρχὰς*

[19]) *Εὐσέβ. ἐν χρονικοῖς.*

[20]) *Ἰώσηπ. Σκαλίγερ. ἐν ταῖς εἰς τὰ χρονικ. Εὐσέβ. παρατηρήσεσιν.*

[21]) *Εὐσέβ. ἐν τοῖς χρονικ.*

[22]) *Σβετόν. ΙΔ'. Κηνσορῖνος Κεφ. ΙΒ'.*

[23]) *Εὐσέβ. ἐν χρονικ.*

[24]) *Ζωναρᾶς.*

μὲν οὗτοι, Φλάκκον τὸν Νουμιδίας Ἡγεμόνα κατ' αὐτῶν στρατεύσαντα, κατὰ κράτος ἐνίκησαν, ὥστε διαρπάσαι καὶ τὸ σρατόπεδον. Ἀλλ' ἐκεῖ πλῆθος τροφῶν, καὶ οἴνου εὑρόντες, καὶ κατακραιπαλήσαντες, ἐν ᾧ ἔπειτα βαθέως ἐκάθευδον, ὑπὸ τοῦ αὐτοῦ Φλάκκου αἴφνης ἐπελθόντος, ἅπαντες διεφθάρησαν. Καὶ τότε οἱ Ῥωμαῖοι ἐφάνησαν νικηταί. Ὁ δὲ Δομιτιανὸς ἐπαρθεὶς ἐπὶ τούτῳ, εἶπε πρὸς τὴν βουλὴν παρελθών, ὅτι: Νασαμῶνας ἐκώλυσα εἶναι, ἤ, (ὡς ἔτι κωμικώτερον ἄλλος [25]) τὴν τοῦ τυράννου παρίστησιν ἔπαρσιν) ἐν ᾧ ὁ Δομιτιανὸς ἐπέττευε, τοῦτο μεταξὺ παρεφθέγξατο: μὴ βούλεσθαι Νασαμῶνας εἶναι· ἔπειτα Ἀπώλοντο οἱ Νασαμῶνες.

§ 276.

Ἐπειδὴ ἐν τῷ πή. ἔτει, εὐτύχησαν ὁπωσοῦν κατὰ Γερμανῶν τὰ Ῥωμαίων ὅπλα, ὁ Δομιτιανὸς διὰ νὰ καταστήσῃ τὴν μνήμην τῶν κατορθωθέντων ἀΐδιον, μετενόμασε τοὺς δύο μῆνας Σεπτέμβριον καὶ Ὀκτώβριον· εἰς Γερμανικὸν καὶ Δομιτιανὸν [26]). Ἐν δὲ τῷ ἐφεξῆς ἔτει εἰ.. πολλοὺς τῶν ἐν Ῥώμῃ εὐπατρειδῶν ἀνεῖλε, καὶ τοὺς Μαθηματικοὺς καὶ φιλοσόφους ὑπερορίους ἀπήλασεν [27]).

---

[25]) Ἀριστείδης ἐν τῷ Σουρναϊκῷ.
[26]) Εὐσέβ. ἐν τοῖς χρονικοῖς.
[27]) Αὐτ. αὐτ. καὶ φιλόστρατ ἐν Βιβλ. Ζ'. τῶν εἰς τὸν Ἀπολλων. Βίον. Καὶ Αὖλος Γέλλιος Βιβλ. ΙΕ'. Κεφ. ιά'.

ΕΤΟΣ υιΑ' — υιΓ'.

§ 277.

Κατὰ Δακῶντε καὶ Γερμανῶν θριαμβεύων τὴν ὑπ' αὐτῶν τελοῦσαν οἰκουμένην εἰκόνων τῶν αὐτοῦ καὶ Ἀνδριάντων ἀργυρῶν καὶ χρυσῶν ἐμπίπλησι [28]). Καὶ τὴν πρωτεύουσαν τῶν Ἑστιάδων, ὀνόματι Κορνηλίαν, ζῶσαν ἐνθάπτει μετὰ τῶν συνήθων καὶ φίλων αὐτῆς [29]). Περὶ δὲ τὸ υιγ'. καὶ ἄμπελον φυτεύειν ἀπηγόρευσεν [30]). Ὅθεν ἀναλογιζόμενος τὰ δύο ταῦτα θεσπίσματα τοῦ Δομιτιανοῦ. Εὐνούχους τε μὴ ποιεῖν, ἀμπέλους τε μὴ φυτεύειν. ἔλεγεν ἀστείως Ἀπολλώνιος ὁ Τυανεὺς [31]), ὅτι »τὰ προστάγ»ματα ταῦτα οὐ πρὸς ἐμέ· μόνος γὰρ ἴσως ἀνθρώπων, »οὔτε αἰδοίων δέομαι, οὔτε οἴνου. Λέληθε δὲ ὁ θαυμασιώτατος τῶν μὲν ἀνθρώπων φειδόμενος, τὴν δὲ γῆν εὐνουχίζων.

ΕΤΟΣ υιΔ'.

§ 278.

Τρίτος Ῥώμης Ἐπίσκοπος χειροτονεῖται ὁ Κλήμης [1]). Διαδεξάμενος Ἀνέγκλητον μετὰ δέκα καὶ δύο ἔτη, ὅσα γίνονται, ἐὰν οὗτος κατὰ τὸ πβ'. ἐπεσκόπευσεν. Ἄλλοι ὅμως [2]) τάττουσι τὴν διαδοχὴν τοῦ Κλήμεντος, χρόνους οὐκ

---

[28]) Εὐσέβ. ἐν χρονικ. καὶ Ξιφιλῖνος.
[29]) Εὐσέβ. Αὐτ. ὅρα καὶ Πλίν. τὸν Νεώτερ. Βιβλ. Δ'. Ἐπιστ. ιά'.
[30]) Εὐσέβ. Αὐτ.
[31]) Παρὰ Φιλοστρ. ἐν τῷ Ἀπολλων. Βίῳ, Βιβλ. ς'.
[1]) Εὐσέβ. ἐν τοῖς χρονικ. Καὶ ἐν β' Ἐκκλ. Ἱστορ. Βιβλ. Γ'. Κεφ. ΙΕ'. Ὅρα καὶ Εἰρηναῖον Βιβλ. Γ'. Κεφ. γ'.
[2]) Καβέος ἐν τῷ Ἀποστολ. Αἰῶνι. Σελ. 28 Ὅρα καὶ ἐν τῷ Πεταβίου Λογιστηρ. τῶν χρόνων. Μέρ. Α'. Βιβλ. Ε'. Κεφ. Θ'. Σημ. 1) ἐν Σελ. 244. τῆς ἐν Ἀμστελοδ. καὶ Λείψ. Ἐκδόσ. 1745.

ὀλίγους πρότερον. Γίνεται δὲ τοῦ Ἱεροῦ Κλήμεντος μνεία ἐν τῇ πρὸς Φιλιππησίους τοῦ Παύλου ἐπιστολῇ [3]). Σώζεται δὲ καὶ ἡ ἐπιστολὴ, ἡ ὑπὸ τοῦ αὐτοῦ Κλήμεντος γραφεῖσα τε καὶ πεμφθεῖσα πρὸς Κορινθίους, ἥτις πολλῶν τε καὶ μεγάλων παρὰ τοῖς πατράσιν ἐπαίνων ἀξιωθεῖσα, δευτέρας πως μετὰ τὰς Κανονικὰς τῶν Ἀποστόλων ἐπιστολὰς, ἔλαχε τάξεως. Ἐγράφη δὲ αὕτη πρὸς τοὺς ἐν Κορίνθῳ διασχιζομένους πιστοὺς, μετὰ τὰς ἐκεῖ συμβάσας συμφοράς τε καὶ περιστάσεις κατὰ τὸν διωγμὸν τὸν ἐπὶ Νέρωνος· [4]) περὶ τὸ ὁ. δηλ. ἀπὸ Χριστοῦ ἔτος. Ἐὰν ὑποτεθῇ, ὡς ὑπετέθη ἀνωτέρω [5]), περὶ τὸ ξή. γενέσθαι τὸ τῶν Κορυφαίων Ἀποστόλων μαρτύριον. Τὰ δὲ περὶ τοῦ Ἱεροῦ Κλήμεντος μνημονευθέντα, τά τε ἄλλα, καὶ τὰ περὶ τῆς ἐπὶ Τραϊανοῦ ὕστερον ἐξορίας αὐτοῦ εἰς τὴν Ταυρικὴν χερσόννησον, καὶ τῆς διὰ μαρτυρίου ἀθλήσεως· ταῦτα οὐδεὶς πρὸ τοῦ Ε΄. αἰῶνος φαίνεται ἱστορῶν· περὶ τούτων σιγῶσι καὶ Εἰρηναῖος, καὶ Τερτυλλιανὸς, καὶ ὁ Ἀλεξανδρεὺς Κλήμης· καὶ οὐδὲ λόγον ὅλως ποιεῖται, οὐδ' αὐτὸς ὁ τοῦ παμφίλου Εὐσέβιος.

§ 279.

Ἑρμᾶς ὁ ἐπικληθεὶς ποιμὴν, κατὰ τὸν αὐτὸν ἤκμαζε χρόνον. Ἣν δὲ φασὶν αὐτὸς οὗτος ὁ ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ [6]) ἀναφερόμενος· Ἀνὴρ Ἀποστολικός· Συγγραφεὺς τῆς Βίβλου ἥτις ποι μὴν ἐπωνόμασται καὶ

[3]) Κεφ. Δ΄. 3.
[4]) Εὐσέβ. Ἐκκλ. Ἱστορ. Βιβλ Γ΄. Κεφ. Ιε΄.
[5]) § 246.
[6]) Κεφ. Ιε΄. 14.

αὐτὴ· ἧς καὶ Εὐσέβιος μνημονεύει [7]), ἐπιλέγων ὅτι πρὸς τινων μὲν ἀντιλέλεκται, ὑφ' ἑτέρων δὲ εἰσαγωγικῆς χάριν στοιχειώσεως ἐγκρίνεται. Ἀλλὰ φέρονται καὶ τινες, οἱ τὴν συγγραφὴν ταύτην ταῖς Κανονικαῖς Βίβλοις ἐναρίθμιον ἔταξαν [8]).

Ἔ Τ Ο Σ υι Ε΄. καὶ υις΄.

§ 280.

Ὁ Θεῖος Πολύκαρπος, Σμύρνης Ἐπίσκοπος ὑπὸ τοῦ Ἀποστόλου Ἰωάννου χειροτονεῖται [9]). Ὅθεν καὶ τοῦτον εἶναι τὸν Ἄγγελον τῆς Σμυρναίων Ἐκκλησίας περὶ οὗ λόγος γίνεται ἐν τῇ Ἀποκαλύψει [10]). Ἐν δὲ τῷ υιέ. τούτῳ, ὅ τὸ δέκατον τρίτον τῆς τοῦ Δομιτίου βασιλείας ἀριθμεῖται, ἐτελείωσε καὶ Ἰώσηπος ὁ Φλάβιος, τὴν τῆς Ἀρχαιολογίας αὐτοῦ Ἱστορίαν, ἔτος αὐτὸς ἄγων τῆς ἡλικίας αὐτοῦ τὸ ἕκτον καὶ πεντηκοστόν [11]). Τοῦ Συγγραφέως τούτου θαυμαστὴ πάντως ἡ ὑπὲρ τοῦ Χριστοῦ κατατεθεῖσα μαρτυρία [12]). »Γίνεται δὲ (γράφοντος) κατὰ »τοῦτον τὸν χρόνον Ἰησοῦς σοφὸς Ἀνὴρ. (εἴγε ἄνδρα »αὐτὸν λέγειν χρή·) ἦν γάρ παραδόξων ἔργων ποιητής. »διδάσκαλος ἀνθρώπων τῶν ἡδονῇ τ' ἀληθῇ δεχομένων·

[7]) Ἐκκλ. Ἱστορ. Βιβλ. Γ΄. Κεφ. γ΄.
[8]) Εἰρην Βιβλ. Δ΄. Κεφ. γ΄. Κλήμ. Ἀλεξανδρ. Στρωμ. Βιβλ. Α΄. καὶ Β΄. Τερτυλλ. περὶ Προσευχ. Κεφ. ιβ΄. Ὠριγέν. Ὁμιλ. Η΄. τῶν εἰς τοὺς Ἀριθμ. καὶ ἄλλοι παρὰ Κατελερίῳ.
[9]) Καβέος ἐν τοῖς περὶ τῶν Ἐκκλησ. Συγγραφέων, ἐν τῷ Λίῶνι ὃν τῶν Γνωστικῶν ἐπιγράφει, ἐξ εἰκασίας Οὐσσερίου τὴν Πολυκάρπου χειροτονίαν ἐν ἔτεσι 94. ἢ 95. ὑποτίθησιν.
[10]) Κεφαλ. Β΄. 8.
[11]) Ὅρα Ἰουδαϊκ. Ἀρχαιολογ. Βιβλ. Κ΄. Κεφ. Θ΄.
[12]) Αὐτ. Κεφ. ΙΗ΄. Κεφ. δ΄.

»καὶ πολλοὺς μὲν Ἰουδαίους, πολλοὺς δὲ ἑλληνικοὺς ἐπηγάγετο· ὁ Χριστὸς οὗτος ἦν. Τήν μαρτυρίαν ταύτην τινὲς τῶν ὕστερον [13]) νοθείας ἐνεκάλεσαν, ἀδρανεστάτοις ἐπιχειρήμασι προσχρησάμενοι· πρὸς ἃ, καὶ τῶν ὕστερον ὁμοίως πολλοὶ, γενναίως ἀπήντησαν· [14]) καὶ τὸ ἐκείνων θράσος ἱκανῶς ἀπέλεγξαν· τῷ ὄντι δὲ, τίς ἡ εὐχέρεια, τοῦ ὕποπτον ἐθέλειν ἀποφῆναι, (οὐδενὶ σὺν λόγῳ·) μαρτυρίαν, ἣν πρῶτος Εὐσέβιος ἐν ἔτει τκδ'. ἐκ τῶν τότε παρ' Ἕλλησίτε καὶ Ἰουδαίοις ἔτι ἀναγινώσκεσθαι δυναμένων Κωδίκων λαβὼν ἐδημοσίευσε, μηδενὸς ἀντειπεῖν ὅλως κατ' ἐκείνους τοὺς χρόνους τολμήσαντος; πῶς δὲ, καὶ διὰ πεντεκαίδεκα σχεδὸν ἑκατοντάδων ἐνιαυτῶν, τὴν μαρτυρίαν ταύτην, ἅπασι τοῖς τοῦ Ἀρχαιολόγου Ἰωσήπου βιβλίοις ἐμφερομένην, οὐδεὶς πρὸ τῶν νεωτέρων τούτων Κριτικῶν, εἰς ἀμφιβολίαν πρὶν ἀναλέσαι ἐτόλμησεν· εἶτα καὶ τίνα λόγον ἔχει τὸ κρίνειν, ὅτι περὶ τοῦ Χριστοῦ, περὶ οὗ καὶ οἱ πορρώτατω Ἐθνικοὶ, οἷον Τάκετος, καὶ Σβετόνιος, καὶ Πλίνιος, καὶ ἄλλοι, μνείαν τινὰ ἐποιήσαντο, μόνος ὁ Ἰουδαῖος Ἰώσηπος, ὁ τὰ κατ' αὐτὸν ἐν τῷ ἰδίῳ ἔθνει συμβάντα γραφῇ παραδοῦναι προθέμενος, οὐδὲν τὸ παράπαν οὐδὲ γρὺ ἐπεφθέγξατο; πολλοὶ ταῦτα εἰκότως ἀντέβαλλον. Αὐτὸς δὲ προσθήσω, ὅτι ἂν ἐσίγησε τέλεον Ἰώσηπος, ἢ μηδὲν ἐπίσημον ἢ ὑπὲρ Χριστοῦ, ἢ κατὰ Χριστοῦ, ἀπεφήνατο, ἡ ἐκ τῆς τοῦ Ἰουδαίου

---

[13]) Οἷος ἐν ἄλλοις Τανακνίλλος ὁ Φάβερ ἐν Διατριβῇ, ἣν ἔτει 1655. ἐξέδοτο.

[14]) Ὅρα Ἰττίγιον Ἐκκλησ. Ἱστορ. Αἰῶνι Α'. Κεφ. Ζ'. Τμήμ. Α'. Γράβιον ἐν τῇ Σταχυολογ. τῶν πατέρων. Βουδδαῖον ἐν Ἱστορ. τῆς παλ. Διαθήκ. Σελ 12. 13. κξ. Καβέον ἐν τοῖς περὶ τῶν Ἐκκλησ. Συγγρ. Αἰῶνι τῷ Ἀποστολικῷ, Σελ. 33. 34. καὶ ἄλλ.

τοιαύτη σιγὴ, ἔχει τόπον μαρτυρίας πολὺ ἰσχυροτέρας, ὑπὲρ τῆς τοῦ Ἰησοῦ Θειότητος.

§ 281.

Ἐν τῷ υιϛ'. δὲ ἔτει Δομιτιανὸς ὁ δεύτερος Νέρων, καὶ τὸν κατὰ χριστιανῶν δεύτερον ἐκίνησε διωγμὸν [15]), ἐν ᾧ καὶ Ἰωάννης ὁ Ἐπιστήθ. δέσμιος ἐξ Ἀσίας εἰς Ῥώμην ὑπὸ τοῦ Ἀνθυπάτου ἐπέμφθη. ἔνθα ἐν Λέβητι πλήρει ἐλαίου ζέοντος ἐμβληθεὶς, ἀσινὴς ἐξάγεται [16]). Εἶτα εἰς Πάτμον ἐξορίζεται τὴν Νῆσον, καὶ συγγράφει ἐκεῖ τὸ βιβλίον τῆς Ἀποκαλύψεως, πρὸς αὐτῷ τῷ τέλει τῆς Δομιτιανοῦ βασιλείας [17]). Ὁμοίως τότε καὶ Τιμόθεος, καὶ Ὀνήσιμος, καὶ ὁ Ἀρεοπαγίτης Διονύσιος, τὸ ὑπὲρ Χριστοῦ στάδιον ἤθλησαν [18]). Καὶ Ἀντίπας δὲ ὁ μάρτυς ἐν Περγάμῳ τῆς Ἀσίας (ὡς πολλοὶ λέγουσιν [19]) ἀπεκτάνθη· τοῦ δὲ Ἀντίπα μνήμη γίνεται καὶ ἐν τῇ Ἀποκαλύψει [20]). Τὸν δὲ Διονυσίου τοῦ Ἀρεοπαγίτου θρόνον, ἤ τότε, ἤ μετὰ χρόνους τινὰς ὕστερον οὐ πολλοὺς, διεδέχθη Πούπλιος [21]) Ἀθηνῶν Ἐπίσκοπος προχειρισθεὶς. ὅστις καὶ αὐτὸς, κατὰ τοὺς ἐν τῷ ἐφεξῆς αἰῶνι διωγμοὺς τὸν διὰ μαρτυρίου ὑπήνεγκε θάνατον,

---

[15]) Εὐσεβ. ἐν τοῖς χρονικ.

[16]) Ἱερώνυμ. Βιβλ. Α'. εἰς Ἰωβινιαν. ἐκ τοῦ Τερτυλλιανοῦ.

[17]) Εἰρηναῖος Βιβλ. Ε'. Κεφ. λ'. Ἱερών. περὶ Ἐκκλ. Συγγραφ. ἐκ δὲ τοῦ Εἰρηναίου καὶ Εὐσέβ. ἐν τῇ Ἐκκλ. Ἱστορ. Βιβλ. Γ'. Κεφ. ΙΗ'.

[18]) Νικηφ. Κάλλιστ. Ἐκκλ. Ἱστορ. Γ'. ιά.

[19]) Μελέτ. ὁ Ἀθην. Ἐκκλ. Ἱστορ. Βιβλ. Β'. Κεφ. Η'.

[20]) Κεφ. Β'. 13.

[21]) Διονύσ. Κορινθ. Ἐπιστ. πρὸς Ἀθην. παρ' Εὐσέβ. Ἐκκλησ. Ἱστορ. Βιβλι Δ'. Κεφ. κγ'.

ΈΤΟΣ νιΖ'.

§ 282.

Κατὰ χριστιανῶν ὁ Δομιτιανὸς ἐκμανεὶς, οὐδὲ τῶν πρὸς αἵματος αὐτοῦ συγγενῶν, οὐδ οἰκείων ἐφείσατο. Καὶ γὰρ καὶ Φλάβιος Κλήμης ἀνὴρ ὑπατικὸς, καὶ ἡ ἐκείνου εἴτε σύζηγος, εἴτε ἐξαδέλφη Φλαβία Δομιτίλλα ὁ μὲν ἀνεψιὸς, ἡ δὲ ἄλλως καὶ αὐτὴ συγγενεύουσα τῷ τυράννῳ, ὑπὲρ Χριστοῦ ἔπαθον, ὁ μὲν ἀναιρεθεὶς ὑπ' αὐτοῦ, ἡ δὲ εἰς νῆσον Ποντίαν φυγαδευθεῖσα [1]· ἐπ' ἐγκλήματι ὡς γράφει Δίων [2], Ἰουδαϊσμοῦ τε καὶ ἀθεότητος. Ἅτότε παρὰ τῶν ἐθνικῶν τοῖς Χριστὸν σεβομένοις αἰτιάματα προσετρίβοντο.

§ 283.

Τότε δὲ, καὶ τοὺς ἀπὸ γένους ὄντας Δαβὶδ, οἵτινες ὑπελείποντο, ὁ Δομιτιανὸς ἀναζητήσας, καὶ εὑρὼν τοὺς υἱοὺς τοῦ Ἰούδα τοῦ κατὰ σάρκα ἀδελφοῦ τοῦ Κυρίου· καὶ ἀνερωτῶν τὰ κατ' αὐτούς· ὡς ἔμαθεν ὅτι πτωχοί τινες εἰσὶ τὴν κατάστασιν, ὀλίγοι τὴν περιουσίαν, πένητες καὶ ἐργατικοὶ ἄνθρωποι· εἶδε δὲ καὶ τοῦ σώματος αὐτῶν τὴν σκληρίαν, καὶ τῶν χειρῶν τὰ ἐκ τῆς ἐργασίας τυλώματα· ἤκουσε δὲ, καὶ ὅτι ἡ τοῦ Χριστοῦ Βασιλεία οὐκ ἔστιν ἐπίγειος, ἀλλ' ἐπουράνιος. καταφρονήσας αὐτοὺς ἀπέλυσε, καὶ τὸν τῆς Ἐκκλησίας διωγμὸν τέως κατέπαυσεν [3]. Ἦν δὲ ὁ Ἰούδας κατὰ τὴν Ἐπιφανίου [4] γνώμην, εἷς τῶν τεσσάρων τοῦ μνήστορος Ἰωσήφ, ἀπὸ

[1] Εὐσέβ. ἐν τοῖς χρονικ.
[2] Ἐν Βιβλ. ΞΖ'.
[3] Εὐσέβ. Ἐκκλησ. Ἱστορ. Βιβλ. Γ'. Κεφ. ΙΘ'. καὶ Κ'. ἐκ τῶν Ἡγησίππου
[4] Ἐν Αἱρέσ. ΟΗ'.

τῆς πρώτης αὐτοῦ γυναικὸς, υἱῶν, Ἀδελφὸς δηλαδὴ Ἰακώβου, καὶ Συμεῶνος, καὶ Ἰωσῆ [5]· οἱ πάντες ἠξιώθησαν ὀνομάζεσθαι διὰ ταύτην τὴν συγγένειαν, Ἀδελφόθεοι [6]. Ὁ γοῦν Ἰούδας αὐτὸς γυναῖκα ἠγάγετο Μαρίαν ὄνομα [7]. καὶ ἐκ ταύτης ἐτέκνωσεν· ὅθεν κατάγονται οἱ ὀνομασθέντες Δεσπόσυνοι [8].

§ 284.

Ἐν τῷ αὐτῷ τούτῳ ἔτει [9], ἢ ὡς ἄλλοι κρίνουσιν [10], ἐν τῷ ἀνωτέρῳ υιϛ'., κακῶς τὸν βίον ὁ Δομιτιανὸς καταστρέφει, ὑπότινος τῶν αὐτοῦ ἀπελευθέρων, ὀνόματι Στεφάνου, ἀναιρεθείς [11]. Κοκκήϊος δὲ Νερούας ψήφῳ τε τῆς Συγκλήτου, καὶ συναινέσει τοῦ στρατιωτικοῦ, Αὐτοκράτωρ ἀναγορεύεται. Ἀνὴρ, διὰ τὴν περιοῦσαν αὐτῷ Σοφίαν, καὶ τὴν τοῦ τρόπου ἐπιείκειαν τῆς ἀρχῆς παρὰ πάντων μαρτυρηθεὶς ἄξιος. Οὗτος τοὺς ἀδίκως ὑπο Δομιτιανοῦ ἀπελαθέντας, ἅπαντας, ἀνεκάλεσεν ἀπὸ τῆς ἐξορίας· ἐν οἷς καὶ ὁ Ἀπόστολος Ἰωάννης ἐλευθερίας τυχὼν ἐπανῆλθεν ἐκ Πάτμου εἰς Ἔφεσον· ὅτε καὶ τοῦ χριστιανισμοῦ ἀσφαλείας ἀπολαύσαντος καὶ ἀνέσεως, ο ἀριθμὸς ἐπληθύνετο τῶν πιστῶν, ἐν ἀγροῖς, καὶ Κώμαις, καὶ πόλεσιν ἀμέμπτως διαιτωμένων, καὶ τῇ περὶ τὸν ἀληθινὸν Θεὸν θεραπείᾳ τε καὶ λατρείᾳ ἐνασχολουμένων,

[5] Ὅρα ἀνωτ. § 166. καὶ § 233.
[6] Ματθ. ΙΓ'. 55. Μάρκ ϛ'. 3.
[7] Νικηφόρ. Κάλλιστ. Ἐκκλησ. Ἱστορ. Βιβλ. Α'. Κεφ. λγ.
[8] Ἀφρικανὸς Ἐπιστ. πρὸς Ἀριστείδην.
[9] Εὐσέβ. ἐν χρονικ.
[10] Διονύσ. Πετάβ. ἐν τῷ Λογιστηρ. τῶν χρόνων, Μέρ. Α'. Βιβλ. Ε'. Κεφ. Α'. καὶ Ζ'.
[11] Σβετὼν. καὶ Τάκιτ. καὶ Δίων, καὶ Πλίνιος ὁ Νεώτ. Βιβλ. Α'. Ἐπιστ ιά.

ὥστε καὶ ὑπὸ τῶν ἐθνικῶν αὐτῶν θαυμάζεσθαι [12]). Ἀλλ' ἡ Νερούα Βασιλεία ὀλιγοχρόνιος γενομένη, τὴν τοῦ χριστιανισμοῦ εὐκληρίαν ταχέως διέκοψεν.

Ἔ Τ Ο Σ υιΗ'.

§ 285.

Τοῦ Νερούα ἐν τοῖς Σαλλουστιανοῖς Κήποις πυρετῷ τελευτήσαντος [1]), ὁ υἱοθετηθεὶς ὑπ' αὐτοῦ Οὔλπιος Τραϊανὸς αὐτοκρατορεῖ [2]). Ἐν Ἀλεξανδρείᾳ δὲ, κατὰ τὸν αὐτὸν χρόνον, Ἀβιλίου ἐκδεδημηκότος πρὸς Κύριον, τρίτος τὴν ἐπισκοπὴν διαδέχεται ὁ Κέδρων [3]). Ἰωάννης δὲ ὁ ἐπιστήθιος τὴν αὐτοῦ Ἔφεσον ἤδη ἔχων, περιώδευε τὰς πλησιοχώρους Κώμας, καὶ πόλεις, Ἐκκλησίας τὰς μὲν συνιστῶν, τὰς δὲ διατάσσων, ἐν ἄλλαις δὲ Ἐπισκόπους τε καὶ Κληρικοὺς ἀποκαθιστῶν, ὅπως ἡ χρεία ἐκάλει. Κατὰ δὲ τὴν περιήγησιν ταύτην, καὶ τὸ περὶ τὸν Νεανῖσκον ἐκεῖνο δρᾶμα συνέβη, ὃν ὁ Ἀπόστολος παραδοὺς ἑνὶ τῶν ἐπισκόπων, μετὰ δὲ καιρὸν ἐπανιὼν, καὶ μὴ εὑρὼν τὴν παρακαταθήκην, ἀλλὰ μαθὼν ὅτι ὁ Νέος δραπέτης γενόμενος ἤδη ἑληστάρχει· ἔδραμεν εὐθέως ὡς καλὸς ποιμὴν, τὸ πρόβατον ζητῶν τὸ ἀπολωλὸς· καὶ εὑρεθὲν, ἐπὶ τῶν γηραιῶν αὐτοῦ ἀνέλαβεν ὤμων, καὶ εἰς τὴν αὐλὴν ἐξ ἧς ἀπεσκίρτησε πάλιν αὐτὸ ἐπανήγαγεν [4]).

---

[12]) Πλίν. ὁ Νεώτ. Βιβλ. Γ'. Ἐπιστ. ειζ'.
[1]) Εὐσέβ. ἐν τοῖς χρονικ.
[2]) Δίων Βιβλ ξή. καὶ Αὐρήλιος Βίκτωρ, καὶ Εὐτρόπιος.
[3]) Εὐσέβ. ἐν τοῖς χρονικοῖς καὶ ἐν τῇ Ἐκκλησ. Ἱστορ. Βιβλ. Γ'. Κεφ. κά.
[4]) Εὐσέβ. Αὐτ. Κεφ. κγ'. ἐκ Κλήμεντος τοῦ Ἀλεξανδρέως.

Ἔ Τ Ο Σ υιΘ'.

§ 286.

Περὶ τοῦ χρόνου, καθ' ὃν τὴν πρώτην τῶν αὐτοῦ ἐπιστολῶν ὁ ἐπιστήθιος ἔγραψεν οὐδὲν βέβαιον ἔχομεν. Ἐπειδὴ δὲ οἴδαμεν ὅτι ἤδη ὑπεργηράσκων αὐτὴν ἐσημείωσε, διὰ τοῦτο αὐτὴν ἐνταῦθα πρὸς τὸ τέλος τῆς πρώτης ἑκατονταετηρίδος τῶν ἀπὸ Χριστοῦ ἀριθμουμένων χρόνων, ἀναφέρομεν. Ὁμοίως δὲ καὶ περὶ τῶν λοιπῶν δύο, πότε καὶ αὐταὶ ὑπὸ τοῦ Ἀποστόλου ἐγράφησαν, ἀγνοοῦμεν. Πληροφορούμεθα δὲ, ὅτι μετὰ τὴν πρώτην πάντως, καθὸ ἐκείνης οἷον ἐπιτομαί [5]). Πολλὰς δὲ ἡ πρώτη αὕτη τοῦ Ἰωάννου ἐπιστολὴ ἐκίνησε τὰς λογομαχίας, περὶ τῶν ἐν τῷ ζ'. Ἐδαφίῳ τοῦ Ε'. ἐν αὐτῇ κεφαλαίου, ἀναγινωσκομένων τριῶν μαρτύρων. Τὸ ἐδάφιον τοῦτο τινὲς τὸ παραγράφουσιν, ὡς παρείσακτον· ὅτι ἐν πολλοῖς τῶν ἀρχαίων χειρογράφων, φασὶν, οὐκ ἐμφέρεται. Ἀλλ' ἐμφέρεται πάντως, ἐν ἄλλοις πλείοσιν [6]). Ἀναφέρεται δὲ ἐπὶ λέξεως, καὶ παρὰ τοῖς ἀρχαιοτάτοις πατράσιν [7]). Σὺ δὲ μέτιθι βουληθεὶς, καὶ τοὺς τὴν γνη-

---

[5]) Ὅρα Βεανσόβρ. καὶ Λαμφάντ. ἐν τοῖς εἰς αὐτὰς ταύτας τὰς Ἐπιστ. πτοτεταγμένοις Προλόγοις.
[6]) Σιμώνιος ἐν τῇ κατ' αὐτὸν περὶ τούτου διατριβῇ, καὶ τοι παρείσακτον καὶ αὐτὸς ὑφορώμενος τὸ ἐδάφιον, ἀλλὰ καὶ ἐν διακοσίοις ὁμολογεῖ περιτυχεῖν αὐτῷ Κώδιξιν ἀρχαιοτάτοις· ὧν δὲ ἄπεστι, τούτους μηδαμῶς ὑπὲρ τὸν ς'. Αἰῶνα προστίθησι χωρεῖν.
[7]) Παρὰ Τερτυλλ. κατὰ Πραξέου. Βεβλ. Α'. Κεφ. κέ. Καὶ Κυπριανῷ Ἐπιστ. πρὸς Ἰουβαϊανὸν ἐν τῷ περὶ τῆς Μονάδος. Καὶ οἱ τῆς τῶν Ἄφρων Ἐκκλησίας δὲ πατέρες, τερακόσιοι τόσιοι ἐπίσκοποι, τὴν ἑαυτῶν πίστιν Οὐνερίκῳ τῷ Βασιλεῖ Οὐανδάλων, ἐν ἔτει Σωτηρίῳ 484. ἐκτιθέμενοι, τὸ αὐτὸ ἐδάφιον κατὰ λέξιν ἀναφέρουσι πρὸς πίστωσιν τῆς ἐν τῇ ὑπερθέῳ Τριάδι μοναδικῆς ὁμοουσιότητος· ὁπότε μάλιστα τῶν Ἀρειανῶν ἐπιπολαζόντων εἰς πλῆθος, καὶ το Κράτος ἐχόντων, οὐδεὶς τῷ προβαλλομένῳ ἐδαφίῳ ὡς παρεισάκτῳ ἀντειπεῖν ἐτόλμησεν.

σιότητα τῆς περικοπῆς, περὶ ἧς ὁ λόγος, ἐκ προθέσεως κατασκευάζοντας [8]).

§ 287.

Καὶ τὸ Εὐαγγέλιον δὲ, οἱ μὲν λέγουσιν, ὅτι ὁ Ἀπόστολος Ἰωάννης ἔγραψεν, ἔτι ἐν τῇ Πάτμῳ ἐξόριστος ὤν, ὅπου καὶ τὴν Ἀποκάλυψιν καὶ ἐθεάσατο, καὶ ἐξέθετο [9]) οἱ δὲ πλεῖστοι ὅτι ἐν Ἐφέσῳ, ὅπου καὶ τὰς ἐπιστολάς [10]). Εἰς τοῦτο πάντες συμφωνοῦσιν, ὅτι τὸ Εὐαγγέλιον ἐν Ἐφέσῳ τὸ ἐδημοσίευσεν, ἐπακούσας τοὺς ἐν Ἀσίᾳ Ἐπισκόπους καθικετεύσαντας, καὶ τοὺς ἄλλους πιστούς [11]). Ἐν γοῦν τῷ Εὐαγγελίῳ αὐτοῦ, ἀναπληρώσας τινὰ, τὰ ὑπὸ τῶν ἐπιλοίπων Εὐαγγελίῳ αὐτοῦ, ἀναπληρώσας τινὰ, τὰ ὑπὸ τῶν ἐπιλοίπων Εὐαγγελιστῶν παραλελειμμένα, ἐθεολόγησεν ὑψηλῶς, καὶ τὴν ἀνέκφραστον τοῦ Θεοῦ λόγου, ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς αἰώνιον γέννησιν, εἰς ἔλεγχον τῶν Ἐβιωναίων, καὶ τοῦ Αἱρεσιάρχου Κηρίνθου, τῶν ἐξαρνουμένων ἀποτόμως τοῦ Κυρίου Ἰησοῦ τὴν Θεότητα [12]). Τοῦτον τὸν Κήρινθον ἀκούσας ποτὲ ἔνδον ὄντα ἔντινι Βαλανείῳ ἐν ᾧ εἰσήρχετο λουσόμενος ὁ Ἀπόστολος, λέγεται εὐθὺς ἔξω ἐκπηδῆσαι,

[8]) Ὅρα τὴν Καλμέτου διατριβὴν ἐν τῷ Η'. Τόμ. τῶν ὑπομνημ. ἐμφερομένην· ἔνθα τοὺς ὑπὲρ τῆς Αὐθεντίας τοῦ χωρίου, κατὰ τῶν ἀντιλεγόντων Συγγραφαμένους προβάλλεται.

[9]) Ἀθανάσ ἐν τῇ Συνόψει, Ἱππόλυτ. ἐν Ἀποσπάσμασιν.

[10]) Εἰρηναῖ. Βιβλ. Γ'. Κεφ. Α'. Εὐσέβ. Ἐκκλ. Ἱστορ. Βιβλ. Ε'. Κεφ. ἡ. Ἐπιφάν. ἐν Αἱρέσ. ΝΑ'.

[11]) Εὐσέβ. ἐν τῇ Ἐκκλ. Ἱστορ. Βιβλ. Γ'. Κεφ. κδ'. Καὶ Βιβλ. ς'. Κεφ. ιδ'. Ἱερώνυμ. ἐν τῷ εἰς τὸν Ματθ. Προλόγ. Καὶ ἐν τῷ περὶ τῶν Ἐκκλ. Συγγραφέων.

[12]) Εἰρην. Βιβλ Γ'. Κεφ. ιά. καὶ Ἱερῶν ἐνθ. ἀνωτ.

εἰπὼν πρὸς τοὺς σὺν αὐτῷ: »Φύγωμεν μὴ καὶ τὸ Βα»λανεῖον συμπέσῃ, ἔνδον ὄντος Κηρίνθου τοῦ τῆς ἀληθείας ἐχθροῦ [13]).

ΈΤΟΣ Ρ'.

§ 288.

Κατὰ τὸν ἕσχατον τοῦτον τῆς Α'. Σωτηρίου Ἑκατονταετηρίδος ὅπερ, ἔτος τῆς Τραϊάνου Αὐτοκρατορίας τὸ δεύτερον ἦν, ὑποτυφομένου ἔτι, τοῦ παρὰ Δομιτιανοῦ κινηθέντος κατὰ τῆς Ἐκκλησίας διωγμοῦ· καὶ μάλιστα ἐν ταῖς πορρώτερω ἀπεχούσαις ἐπαρχίαις τοῦ κράτους, διάφοροι τὸν τοῦ Μαρτυρίου Στέφανον ἀνεδήσαντο. Ἐν οἷς καὶ Κλήμης, ὁ τὸν Ῥώμης θρόνον, ὡς εἴρηται μετὰ Ἀνέγκλητον Ἰθύνας· ὅθεν τὴν Ἐπισκοπὴν Τέταρτος διεδέχθη Εὐάρεστος. Ἐν τούτῳ δὲ ἢ τῷ πρὸ τούτου ἔτει, ἢ μᾶλλον ἐν τῷ ἑφεξῆς· καὶ ὁ Ἐπιστήθιος Ἰωάννης εἰς τὰς Οὐρανίους μετέστη μονὰς, μέχρι τῶν Τραϊανοῦ χρόνων ἐπιζῆσαι μαρτυρηθείς.

[13]) Εἰρηναῖος, ὡς ἐκ τῆς Πολυκάρπου παραδόσεως· παῤ Εὐσέβ. Ἐκκλ Ἱστορ Βιβλ. Γ'. Κεφ κή.

ΚΑΤΑΛΟΓΑΡΙΟΝ

Ἑκατονταετηρίδος Α΄.

ΚΑΤΑΛΟΓΟΣ Α΄.

Ῥωμαίων Αὐτοκράτορες.

Α΄. Μετὰ Ἰούλιον Καίσαρα, Ὀκτάνιος ὁ Αὔγουστος ἐβασίλευσεν . . . . Ἔτη 56 Μῆνας 6. τῷ δὲ τεσσαρακοστῷ β΄. ἔτει τῆς τούτου βασιλείας ἐγεννήθη τὸ κατὰ Σάρκα ὁ Κύριος ἡμῶν.

Β΄. Τιβέριος βασιλεύει	*ἔτη*	23	
Γ΄. Γάϊος Καλιγόλας	»	3	*Μῆν* 10.
Δ΄. Κλαύδιος	»	13	» 1.
Ε΄. Νέρων	»	13	» 8.
ς΄. Γάλβας			» 7.
Ζ΄. Ὄθων			» 3.
Η΄. Βιτέλιος			» 8.
Θ΄. Οὐεσπασιανὸς	*ἔτη*	9	» 11. *ἡμ.* 22.
Ι΄. Τῖτος	»	2	» 2.
ΙΑ΄. Δομιτιανὸς	»	15	» 5.
ΙΒ΄. Νερούας	»	1	» 4.

ΚΑΤΑΛΟΓΟΣ Β΄.

Ἱεροσολύμων Ἐπίσκοποι.

Α΄. Ἰάκωβος ὁ ἀδελφὸς τοῦ Κυρίου μετὰ τὴν τοῦ Σωτῆρος Ἀνάληψιν· τουτέστι περὶ τὸ 34. *ἢ* 35. *ἀπὸ Χριστοῦ προχειρισθεὶς ἐπεσκόπευσεν .*	*ἔτη*	26.	
Β΄. Συμεὼν ὁ Κλεώπα ὁ Ἰακώβου ἀδελφὸς .	»	23.	

Γ΄. Ἰοῦστος	*ἔτη*	6.	
Δ΄. Ζαχαρίας	»	4.	
Ε΄. Τωβίας	»	4.	
ς΄. Βενιαμὶν	»	2.	

ΚΑΤΑΛΟΓΟΣ Γ΄.

Οἱ Ῥώμης Ἐπίσκοποι.

Μετὰ τοὺς Ἀποστόλους Πέτρον καὶ Παῦλον, τοὺς ἐν ἔτει ξή., τὸν ὑπὲρ Χριστοῦ θάνατον ὑποστάντες, ἐπισκοπεύει.

Α΄. Λῖνος	*ἔτη*	12	
Β΄. Ἀνέγκλητος	»	12.	
Γ΄. Κλήμης	*ἔτη*	9	

ΚΑΤΑΛΟΓΟΣ Δ.

Οἱ Ἀλεξανδρείας Ἐπίσκοποι.

Μετὰ Μάρκον, κατεστάθη Ἐπίσκοπος, περὶ τὸ ξγ΄.

Α΄. Ἀννιανὸς	*ἔτη*	22.	
Β΄. Ἀβίλιος	»	13.	
Γ΄. Κέρδων	»		

ΚΑΤΑΛΟΓΟΣ Ε΄.

Οἱ Ἀντιοχείας Ἐπίσκοποι.

Μετὰ Πέτρον τὸν Κορυφαῖον, περὶ οὗ ὁ Νικηφόρος ἐν τῇ χρονογραφίᾳ λέγει, ὅτι ἐπεσκόπευσεν ἐν Ἀντιοχείᾳ ἔτη ιά. κατεστάθη Ἐπίσκοπος περὶ τὸ μδ΄.

Α΄. Εὐόδιος	*ἔτη*	23.	
Β΄. Ἰγνάτιος περὶ τὸ ξθ΄. ἢ ὁ	»	38.	

ΚΑΤΑΛΟΓΟΣ ς΄.

Οἱ Βυζαντίου Ἐπίσκοποι.

Ὑπὸ τοῦ Ἀποστόλου Ἀνδρέου χειροτονηθεὶς

Α΄. Στάχυς . . . . . ἔτη 16.
Β΄. Ὀνήσιμος . . . . . » 14.
Γ΄. Πολύκαρπος . . . . . » 17.
Δ΄. Ἐλευθέριος . . . . . » 7.
Ε΄. Φήλιξ . . . . . » 5.
ς΄. Πολύκαρπος . . . . . »

ΚΑΤΑΛΟΓΟΣ Ζ΄.

Οἱ κατὰ Χριστιανῶν Διωγμοί.

Ἐκ τῶν Ἰουδαίων.

Α΄. Ὁ παρὰ τῶν ὑπὲρ τοῦ Ἰουδαϊκοῦ νόμου ζηλωτῶν διωγμὸς, κατότε Ἱερουσαλὴμ, καὶ Δαμασκὸν, κξ΄. ὅτε διώκτης ἔτι ἦν καὶ ὁ Παῦλος. Ἐν ἔτει λέ. (ὅρα § 168 καὶ 169).

Β΄. Ὁ ὑπὸ Ἡρώδου τοῦ Ἀγρίππα, τοῦ ἀνελόντος Ἰάκωβον τὸν ἀδελφὸν Ἰωάννου Μαχαίρᾳ. Ἐν ἔτει μγ΄. (ὅρα § 188).

Γ΄. Ὁ ὑπὸ Ἀνάνου τοῦ Ἀρχιερέως, τοῦ εἰς θάνατον διώξαντος Ἰάκωβον, τὸν ἀδελφὸν τοῦ Κυρίου. Ἐν ἔτει ξβ΄. (ὅρα § 232).

Ἐκ τῶν Ἐθνικῶν.

Α΄. Διωγμὸς, ὁ ἐπὶ, καὶ ὑπὸ τοῦ Νέρωνος. Ἐν ἔτει ξδ΄. (ὅρα § 239).

Β΄. Ὁ ἐπὶ Δομιτιανοῦ. Ἐν ἔτει νιϛ΄. (ὅρα § 282. καὶ 283. καὶ 284).

Γ΄. Ὁ ἐπὶ Τραϊνοῦ. Περὶ ἔτος τὸ ρ΄. (ὅρα § 289).

ΚΑΤΑΛΟΓΟΣ Η΄.

Αἱ ἀναφανεῖσαι Αἱρέσεις.

Α΄. Σιμωνιανοὶ, οἱ ἀπὸ Σίμωνος τοῦ Μάγου, τοῦ Σαμαρέως, ἐκ Κώμης Τιτθών. Κεφάλαια δὲ τῆς Αἱρέσεως ταύτης ἦσαν τὰ ἑξῆς. ά.) ἔλεγεν ὁ Ἀπατεὼν ὅτι αὐτὸς ἦν ὁ Μεσίας, καὶ ὁ Χριστός· ὤφθη γὰρ τὸ μὲν πρῶτον ἐπὶ τοῦ Σινᾶ, ὡς Πατὴρ, τοὺς Ἰουδαίους νομοθετῶν. Τὸ δὲ δεύτερον ἐπὶ Τιβερίου Καίσαρος, ὡς υἱὸς, τὴν οἰκονομίαν ἐκπληρῶν. Τὸ δὲ τρίτον ἐπὶ τοῦ ὑπερώου κατὰ τὴν ἡμέραν τῆς πεντηκοστῆς, ὡς τὸ πνεῦμα, ἐν εἴδει πυρίνων γλωσσῶν τοὺς Ἀποστόλους καταφωτίζον. β΄.) ὅτι ὡς Χριστὸς ἔδοξε μὲν παθεῖν, οὐκ ἔπαθε δέ. γ΄.) τὸν κόσμον ἐδίδασκε, μὴ ὑπὸ τοῦ Θεοῦ, ὑπὸ δὲ Ἀγγέλων κτισθῆναι. δ΄.) ἀνάστασιν σαρκὸς μὴ ἔσεσθαι. έ.) τὰς γυναῖκας εἶναι κοινάς· καὶ τοῦτο εἶναι τῆς Εὐαγγελικῆς ἐλευθερίας τὸ δῶρον. ς΄.) περιῆγε δὲ μεθ' ἑαυτοῦ παμμιαρόντι γύναιον ὀπαδὸν ἀδιάλειπτον· ὄνομα Ἑλένην, ἣν μητέρα πάσης ἔπλαττε ψυχῆς, μεγίστην οὖσαν τῶν ἐν τοῖς αἰῶσι θηλυτέρων δυνάμεων, ὡς ἑαυτὸν τῶν Ἀρρένων. Καὶ τὴν Ἑλένην δὲ ταύτην ἵνα λυτρώσῃ, κατεφλυάρει ὁ γόης οὗτος· ὅτι εἰς γῆν κατῆλθεν αὐτὸς, καθελεῖν μέλλων τὴν βασιλείαν τῶν τοῦ κόσμου Δημιουργῶν, ὑφ' οὓς ἡ Ἑλένη ὑπεξούσιος τέως ἦν [1]).

Β΄. Μενανδριανοὶ, οἱ ἀπὸ Μενάνδρου. Ἦν δὲ Σαμαρεὺς καὶ οὗτος, ἀπὸ Κώμης Καπαραττείας, Μαθη-

---

1) Ὅρα Εἰρην. κατὰ Αἱρέσ Βιβλ. Α΄. Κεφ. κ΄. Κλήμεν. Διαταγ. Βιβλ. ϛ΄. Κεφ. ζ. η. Τερτυλ. περὶ Προγραφ. Αἱρέσ. Εὐσέβ. Ἐκκλ. Ἱστορ. Βιβλι Β΄. Κεφ. ιγ΄. Ἐπιφάν. Αἱρέσ. ΚΑ΄. Θεοδώριτ. περὶ Αἱρετ. Μυθαρ. Βιβλ. Α΄. Αἱρ. ά.

τῆς τοῦ Σίμωνος, καὶ μετὰ τὸν ἐκείνου θάνατον παραπλησίως δυσσεβολογῶν· ά.) ὅτι ὁ κόσμος ὑπὸ τῶν Ἀγγέλων ἐδημιουργήθη, οὕς παρήγαγεν ἡ ἔννοια· β΄.) ὅτι αὐτὸς ἦν ἡ τοῦ Θεοῦ δύναμις, ἡ ἐπὶ σωτηρίᾳ τοῦ ἀνθρωπίνου ἄνωθεν, ἤγουν ἐκ τοῦ πληρώματος, καταπεμφθεῖσα. γ΄.) ὅτι ὁ Χριστὸς (ἥτις ἦν ἡ Αἵρεσις τῶν Δοκητῶν·) κατὰ φαντασίαν ἄνθρωπος ἦν· δ΄.) ὅτι δὶ οὗ αὐτὸς μετεδίδου τοῖς αὐτῷ προσερχομένοις βαπτίσματος, ἀθανασίας ἀϊδίου μετεῖχον καὶ ἐν τῷδε τῷ βίῳ οἱ βαπτιζόμενοι, ἀναλλοίωτοι κατὰ τὸν ὀργανισμὸν τοῦ σώματος, καὶ ἀγήραοι καθιστάμενοι [2]).

Γ΄. Νικολαΐται, (περὶ ὧν ἐν τῇ Ἀποκαλύψει Β΄. 15.) πότερον ἀπὸ Νικολάου τοῦ Ἀντιοχέως, ἑνὸς τῶν ἑπτὰ Διακόνων, (πράξ. ϛ΄.) ἢ ἀπὸ ἄλλου τινὸς Νικολάου; ἐκεῖνο γ' παλαιοτέρα γνώμη αἱρεῖται. Λέγουσι δὲ ὅτι ὁ Νικόλαος ἐκεῖνος, ζηλοτυπίας ἐγκαλούμενος, τὴν ἰδίαν γυναῖκα ὡραίαν οὖσαν εἰς μέσον παρήγαγεν, ἐπιτρέψας χρῆσθαι τῷ θέλοντι. Οἱ δὲ, ἁλλως· ὅτι κατ' ἀρχὰς ἐγκρατευόμενος, εἰς ὑπερβολὴν λαγνείας ἔλαθεν ὕστερον περιπεσών. Ἄλλοι δέ τινες πάλιν, τὸν μὲν Νικόλαον σωφρονικώτατον ἕως τέλους γενέσθαι ὑπολαμβάνουσιν· ὥσπερ δὴ καὶ τὰς θυγατέρας αὐτοῦ, καὶ τὸν υἱὸν, ἐν ἀκριβεῖ τῇ παρθενίᾳ ἱστοροῦσι καταγηράσαι. Οἱ δὲ Νικολαΐται (φασὶ) μετὰ ταῦτα, τὸ ὑπὸ τοῦ Νικολάου ποτὲ »εἰρημένον: δεῖν παραχρῆσθαι τῇ σαρκὶ, ἀντὶ τοῦ »καθυποτάσσειν, καὶ καταστέλλειν, κακῶς ἐννοήσαντες, καὶ εἰς τὴν κατάχρησιν τοῦ κατὰ τοῦ ἰδίου σώμα-

[2]) Εὐσέβ. Ἐκκλ. Ἱστορ. Βιβλ. Γ΄. Κεφ. κε΄. Ἐπιφάν. Αἱρ. ΚΔ΄. Θεοδώρ. Αἱρετικ. Μυθ. Βιβλ. Α. Κεφ. β΄, ἐξ Εἰρην. Ἰουστίν. Τερτυλ. ὠριγέν.

τος ἁμαρτάνειν μεταλαβόντες, πρὸς τὰς ἐσχάτας σαρκικὰς ἀτοπίας ἐξώκειλαν· ὅπως ἂν οὖν καὶ ἔχῃ τὸ πρᾶγμα, τῆς τῶν Νικολαϊτῶν Αἱρέσεως παρὰ πάντων Κεφάλαια ἱστοροῦνται τὰ ἑξῆς. ά.) τὸ τὰς γυναίκας εἶναι κοινάς. β΄.) τὸ περὶ τὰ Ἀφροδίσια ὡς ἔτυχε φέρεσθαι. γ΄.) τὸν καθ' ἑκάστην μὴ λαγνεύοντα, μὴ ἐλπίζειν σωθήσεσθαι· δ΄.) ἐπὶ τούτοις, καὶ τὸ μηδὲ ἀπὸ τῶν εἰδωλοθύτων χρῆναι ἀπέχεσθαι, ὥσπερ οὐδὲ ἀπὸ πορνείας [3]).

Δ΄. Κηρινθιανοὶ, οἱ ἀπὸ Κηρίνθου τοῦ Ἰουδαίου, ὅς ἦν ἀντιτασσόμενος Πέτρῳ μὲν κατὰ τὴν Ἰουδαίαν, Ἰωάννῃ δὲ κατὰ τὴν Ἀσίαν. Ἐδίδασκον δὲ οἱ περὶ Κήρινθον. ά.) ὅτι ὑπὸ Ἀγγέλων ὁ κόσμος δεδημιούργηται· ἢ ὑπὸ δυνάμεως τῆς ἐκτὸς αὐτοῦ τοῦ Θεοῦ οὔσης, ὡς καὶ Μένανδρος κατελήρει. β΄,) ὅτι ψιλὸς ἦν ἄνθρωπος ὁ Χριστὸς, οὐκ ἐκ παρθένου τεχθεὶς, ἀλλ' ἐκ τοῦ Ἰωσὴφ καὶ τῆς Μαριὰμ, κατὰ νόμον σαρκὸς καὶ αἵματος. γ΄.) ὅτι ἡ περιτομὴ, καὶ ἡ λοιπὴ τῶν τοῦ Νόμου τελετῶν παρατήρησις, ἀναγκαῖα πρὸς σωτηρίαν εἰσίν. δ΄.) ὅτι ἡ τοῦ Χριστοῦ Βασιλεία γήϊνος καὶ σαρκίνη ἔμελλεν εἶναι, μετὰ τὴν τῶν Ἱεροσολύμων ἀνοικοδόμησιν, διαρκέσουσα ἐπὶ γῆς εἰς χιλιετίαν· ὥστε ὁ Κήρινθος οὗτος γνωρίζεται, ὡς ὁ τῶν παχυτέρων Χιλιαστῶν πατήρ [4]).

Ε΄. Ἐβιωναῖοι· ἢ ἀπὸ Ἐβίωνος μαθητοῦ Κηρίνθου·

[3]) Εἰρην. μετὰ τὴν Κηρίνθου καὶ Ἐβίωνος Αἵρεσιν. Τερτυλ. ἐν τῇ Βίβλῳ τῶν Προγραφῶν. Καὶ ἐκ τῶν Κλήμ. Στρωμάτ. τοῦ Γ΄. ὁ Εὐσέβ. Ἐκκλ. Ἱστορ. Βιβλ. Γ΄. Κεφ. κθ΄. Καὶ Ἐπιφάν. Αἱρ. ΚΕ΄. Καὶ Θεοδώρητ. Αἱρετικ. Μυθαρ. Βιβλ. Γ΄. Κεφ. ά.

[4]) Εἰρην. Βιβλ. Α΄. Κεφ. κέ. καὶ κς΄. Ἐπιφάν. Αἱρ. ΚΗ΄. Εὐσέβ. Ἐκκλ. Ἱστορ. Βιβλ. Γ΄. Κεφ. κη. Αὐγουσ. περὶ Αἱρ. Κεφ. ή. Τερτυλ. περὶ Προγραφῶν. Κεφ. μή. Θεοδώρ. Αἱρέσ. Μυθαρ. Βιβλ. Β΄. Κεφ. γ΄.

ἢ ὅτι Ἐβίων τὸν πτωχὸν σημαίνει Ἑβραϊστί· καθότι πτωχῶστε καὶ εὐτελῶς οὗτοι τὰ περὶ Χριστοῦ ἦσαν δοξάζοντες· ἐφρόνουνδέ· ά.) ὅτι ὁ Χριστὸς κυρίως τοῦ Ἰωσὴφ υἱὸς ἦν, ὡς καὶ ὁ Κήρινθος ἐδίδασκε. Καίτοι, ἄλλοι τινὲς ἐκ τῶν τοῦ Ἐβίωνος καὶ οὗτοι κόμματος, καὶ τοῖς Ναζαραίοις συμφατριάζοντες, ἐκ παρθένου μὲν τεχθῆναι τὸν Χριστὸν ἔλεγον, μὴ μέντοι καὶ πρὸ τῆς κατὰ σάρκα γεννήσεως αὐτοῦ προϋπάρξαι ὅλως, ὡς Θεοῦ υἱόντε καὶ λόγον. β΄.) ὅτι εἰς Σωτηρίαν ἀπαραίτητος ἐστὶν ἡ τοῦ νόμου λατρεία. γ΄.) οὐκ ἀπεδέχοντο οἱ Ἐβιωναῖοι, παρὰ μόνην τὴν πεντάτευχον· (ἐν ᾧ διέφερον τῶν Ναζαραίων·) ἀπέβαλλον δὲ τοὺς προφήτας πάντας· τὸν δὲ Δαβὶδ, καὶ τὸν Σολομῶντα, καὶ Ἱερεμίαν, καὶ Ἰεζεκιὴλ, ἀπεστρέφοντο καὶ ἀπεστύγουν. δ΄.) Μόνον τὸ καθ' Ἑβραίους λεγόμενον Εὐαγγέλιον παρεδέχοντο· ἤτοι τὸ κατὰ Ματθαῖον Ἑβραϊστὶ γεγραμμένον· ποικίλως ὅμως παραπεποιημένον καὶ διανενοθευμένον· καθὼς καὶ οἱ Ναζαραῖοι· πλὴν ὅσον οἱ Ἐβιωναῖοι, καὶ τὴν ἐμφερομένην ἐν αὐτῷ Γενεαλογίαν τοῦ Ἰησοῦ Χριστοῦ, ἀφῄρουν, τὴν ὁποίαν οἱ Ναζαραῖοι ἐτήρουν. ε΄.) Καὶ τὰς τοῦ Παύλου ἐπιστολὰς ἁπάσας ἀπέπτυον, ἀποστάτην τοῦ Νόμου τὸν Ἀπόστολον ὀνομάζοντες [5]).

ς΄. Ναζαραῖοι, οἱ τοῖς Ἐβιωναίοις ἐν μέρει σύμφρονες· περιλαμβάνονται δὲ ὑπὸ τούτῳ τῷ ὀνόματι (ὅ κατ' ἀρχὰς κοινῇ ἀπεδόθη πᾶσι τοῖς χριστιανίζουσιν·) ὅσοι μάλιστα τὸν χριστιανισμὸν τῷ Ἰουδαϊσμῷ συμβιβάσαι

[5]) Εἰρην. Βιβλ. Α΄. Κεφ. κ΄. Ὠριγέν. κατὰ Κέλσου, Βιβλ. Β΄. Εὐσεβ. Ἐκκλ. Ἱστορ. Βιβλ. Γ΄. Κεφ. κζ΄. Ἐπιφάν. Αἱρ. Α΄ Θεοδώρ. Αἱρετ. Μυθαρ. Βιβλ. Ε΄. Κεφ. β΄.

ἐσπούδασαν, τὸ καθ' Ἑβραίους, ἢ κατὰ Πέτρον, ἢ κατὰ τοὺς ιβ΄. Ἀποστόλους λεγόμενον Εὐαγγέλιον μόνον παραδεχόμενοι [6]), Ἐλήρησεν οὖν Τολάνδος [7]), τὸ κατ' ἀρχὰς πάντας τοὺς πιστεύσαντας Ναζαραίους γενέσθαι διατεινόμενος, καὶ παρ' αὐτοῖς τοῖς ὁμογενέσιν αὐτῷ [8]), ἱκανῶς ἐλεγχόμενος. Ἀλλ' οὐδὲ Μοσχέμιος [9]) ἀκουστέος, ὁ τὴν τῶν Ναζαραίων αἵρεσιν κατὰ τὸν Δ΄. τῶν Ἐκκλησιαστικῶν αἰώνων ἀναφανῆναι ὑπολαβὼν, καὶ ὑπὸ Βεαυσώβρου [10]) καὶ οὗτος εὐφυῶς ἀπελήλεγμένος.

Ζ΄. Οἱ περὶ Ὑμέναιον, καὶ Φιλητὸν, καὶ Ἀλέξανδρον, καὶ Ἑρμογένην, τοὺς ἐξαρνουμένους τὴν τῶν σωμάτων ἐξανάστασιν, καὶ Ἀνάστασίν τινα μυστικὴν εἰσηγουμένους τὴν διὰ μετανοίας, ἥν καὶ παλιγγενεσίαν, καὶ πρώτην Ἀνάστασιν ἐπωνόμαζον [11]).

ΚΑΤΑΛΟΓΟΣ Θ΄.

Αἱ Συστᾶσαι Σύνοδοι.

Α΄. Ἡ τῶν Ἀποστόλων μετὰ καὶ τῶν λοιπῶν πιστῶν συνάθροισις ἐν τῷ ὑπερῴῳ τῆς Ἱερουσαλήμ· ὅτε προβληθέντων εἰς τὴν ἐκλογὴν τῆς ἀποστολῆς Βαρσαβᾶ τε καὶ Ματθίου, ἐκληρώθη οὗτος τὸ ἀξίωμα, καὶ συγκατεψηφίσθη μετὰ τῶν ἕνδεκα Ἀποστόλων ἐν ἔτει ΛΔ΄. ὅρα § 159).

[6]) Ὅρα Ἱερώνυμ. εἰς τὸν Ἡσαΐ. Κεφ. ά. Ἐπιφάν. Αἱρ. ΚΘ΄. Θεοδώρ Αἱρετ. Μυθαρ. Βιβλ. Β΄. Κεφ. β΄.

[7]) Ἐν τῷ ὑπ αὐτοῦ Συγγραφέντι Βιβλίῳ καὶ Ἐπιγραφέντι Ναζαραῖος ἢ χριστιανισμὸς Ἰουδαϊκὸς, ἐθνικὸς, Μωαμεθικὸς κξ.

[8]) Τοῖς Ἄγγλοις, Θωμᾷ Μαυγελ. Πατερσώνῳ Ἀντιναζαρηνῷ.

[9]) Ἐν τῇ Διεκδικήσει τῆς πάλαι τῶν χριστιαν. Διωτυπώσ. Τμήμ. Α΄. Κεφ. ς΄.

[10]) Ἐν τῇ Διατριβῇ τῇ ἐν τῷ Ἀναπληρώματι τῷ εἰς τῶν Οὐσσιτῶν Μάχην.

[11]) Β΄. πρὸς Τιμόθ. Β΄. 17. Καὶ Α΄. Κορινθ. ΙΕ΄. 12. Τούτων μνείαν ποιοῦνται καὶ Εἰρην. καὶ Τερτυλλ. ἀλλὰ περὶ τούτων μέτιθι τοὺς ὑπομνηματιστὰς τῶν εἰρημ. τοῦ Παύλου Ἐπιστολῶν.

Β'. Ἡ Συνάθροισις τῶν Ἀποστόλων, πρὸς ἐκλογὴν τῶν ἑπτὰ Διακόνων. Ἐν ἔτει ΛΔ'. (ὅρα § 165). Ἀλλ' αὗται εἰσίπως καταχρηστικώτερογ λεγόμεναι Σύνοδοι.

Γ'. Κυριώτερον Σύνοδος (διὸ καὶ Α'.) ἐν Ἱεροσολύμοις, ἐν ᾗ ἐθεσπίσθη ἡ Εὐαγγελικὴ ἀπὸ τῶν νομικῶν παρατηρήσεων ἐλευθερία. Ἐν ἔτει ΜΘ'. (12).

ΚΑΤΑΛΟΓΟΣ Γ.

Τὰ τῶν Ἱερῶν Συγγραφίων Κανονικὰ Συγγράμματα.

Α'. Ματθαῖος ὁ Λευὶ ὁ τοῦ Ἀλφαίου, Ἀπόστολός τε καὶ Εὐαγγελιστὴς, πρῶτος τὸ κατ' αὐτὸν συνέγραψεν Εὐαγγέλιον· ὡς μὲν οἱ πλείονες ὑπολαμβάνουσιν Ἑβραϊστὶ, ἤτοι Συροχαλδαϊστὶ [1]). κατὰ δέ τινας τῶν Νεωτέρων, Ἑλληνιστί· [2]) (§ 229).

Β'. Μάρκος ὁ τοῦ Πέτρου μαθητὴς συνέγραψε τὸ κατ' αὐτὸν Εὐαγγέλιον (§ 230). Συνέγραψε δ' αὐτὸ οὐχὶ Λατινιστὶ, ὡς ὁ Βαρώνιος εἰσηγεῖται· Ἑλληνιστὶ δὲ, ὡς οἱ ἀρχαῖοι διδάσκουσι [3])· καὶ τῶν νεωτέρων οἱ δοκιμώτατοι [4]).

Γ'. Λουκᾶς ὁ Ἀντιοχεὺς μὲν τὴν πατρίδα, μαθητὴς δὲ καὶ ὀπαδὸς Παύλου γενόμενος, ἔγραψε τὸ Εὐαγγέλιον, εἶτα μετ' αὐτὸ τὰς πράξεις τῶν Ἀποστόλων· ἀναθέμενος ἑκάτερον τῶν Συγγραμάτων, Θεοφίλῳ ἀνδρὶ Κρατίστῳ (§ 230).

Δ'. Ἰωάννης ὁ τοῦ Ζεβεδαίου καὶ τῆς Σαλώμης υἱὸς, ὁ ἐπιστήθιος Μαθητὴς, ἔγραψε τὸ κατ' αὐτὸν Εὐαγγέλιον ἔσχατος τῶν ἄλλων, καὶ τὴν Ἀποκάλυψιν, καὶ τὰς τρεῖς ἐπιστολάς· (ὅρα § 287 288).

Ε'. Παῦλος ὁ πρὶν Σαῦλος ἐκ φυλῆς Βενιαμὶν, ὁ ἀπὸ Ταρσοῦ τῆς Κιλικίας, ἔγραψεν ἐπιστολὰς ΙΔ'.

Τὴν πρὸς Ῥωμμίους (§ 217).
Τὰς πρὸς Κορινθίους Α'. καὶ Β'. (§ 215. 216).
Τὴν πρὸς Γαλάτας (§ 207).
Τὴν πρὸς Ἐφεσίους (§ 226).
Τὴν πρὸς Φιλιππησίους (§ 226).
Τὴν πρὸς Κολλασαεῖς (§ 226).
Τὰς πρὸς Θεσσαλονικεῖς, Α'. καὶ Β'. (§ 207).
Τὰς πρὸς Τιμόθεον, Α'. καὶ Β'. (§ 234. 242).
Τὴν πρὸς Τῖτον (§ 238).
Τὴν πρὸς Φιλήμονα. (§ 226.)
Τὴν πρὸς Ἑβραίους Ἑβραϊστί. (§ 227.) τὴν ὑπὸ Λουκᾶ, ἢ Κλήμεντος, ἢ Βαρνάβα ἐξελληνισθεῖσαν [5]).

ς'. Ἰάκωβος ὁ τοῦ Κυρίου ἀδελφὸς, καὶ πρῶτος Ἱεράρχης Ἱεροσολύμων, ἔγραψε τὴν Καθολικὴν ἐπιστολὴν, ταῖς ἐν τῇ διασπορᾷ δώδεκα φυλαῖς (§ 228.).

Ζ'. Πέτρος ἡ κορυφαία τῶν Ἀποστόλων ἀκρότης, ἔγραψε πρὸς τοὺς κατὰ τὴν διασπορὰν ὁμοίως ἐπιδη-

---

12) *Παρὰ Καβίῳ, χρονολογεῖται ἡ Σύνοδος. αὕτη ἐν ἔτει ΜΖ.*

1) *Παπίας παῤ Εὐσέβ. Ἐκκλ. Ἱστορ. Βιβλ. Γ. Κεφ. λθ'. Εἰρην. κατὰ Αἱρέσ. Βιβλ. Γ. Κεφ. ά. Ὠριγέν. παῤ Εὐσέβ. Βιβλ. ς'. Ἐκκλ. Ἱστορ. Κεφ. κδ. Κύριλ. Ἱεροσολυμ. Κατηχ. ΙΔ'. Ἱερών. ἐν τῷ Προλόγ. τῷ εἰς τὰ Α'. Εὐαγγέλια, καὶ ἐν τῷ Προλόγ. τῷ πρὸ τοῦ ὑπομν. τοῦ εἰς τὸν Ματθ. Ἐπιφαν. Αἱρέσ. ΚΘ'. καὶ ΝΑ. Χρυσόστ. ὁμιλ. Α. εἰς Ματθ. κξ.*

2) *Εἰσὶ δὲ Ἔρασμος, καὶ Γαϊετάνος, καὶ πολλοὶ τῶν παρὰ τοῖς Προτεστάνταις ὑπομνηματιστῶν.*

3) *Ἱερώνυμ. Ἐπιστ. ρκγ'. Αὐγουστ. Βιβλ. Α. περὶ Συμφ. τῶν Εὐαγγελ. Κεφ. β'. κξ.*

4) *Δουπῖνος ἐν τῷ προεισοδιώδει Λόγῳ περὶ τῆς θείας Γραφῆς, Βιβλ. Β'. Κεφ. β'. Καὶ Καβίος ἐν τῷ Ἀποστολ. αἰῶνι ἐν τῷ περὶ τῶν Ἐκκλησ. Συγγραφ.*

5) *Εὐσέβ. Ἐκκλησ. Ἱστορ. Βιβλ. Γ. Κεφ λή· Καὶ Ἱερών περὶ Ἐκκλησ. Σιγγραφ. Κεφ. έ.*

μοῦντας Ἰουδαίους. ἐπιστολὰς Καθολικὰς δύο, Α'. καὶ Β'. (§ 228. καὶ 248).

Η'. Ἰούδας ὁ Λεββαῖος, ἢ καὶ Θαδδαῖος λεγόμενος, Ἀπόστολος, καὶ τοῦ Ἀδελφοθέου Ἰακώβου Αὐτάδελφος, ἔγραψε πρὸς τοὺς ἐν τῇ διασπορᾷ καὶ οὗτος ἐπιστολὴν Καθολικήν. (§ 258).

ΚΑΤΑΛΟΓΟΣ ΙΑ'.

Ἐκκλησιαστικῶν Συγγραφέων, ὧν τὰ Συγγράμματα ἀκανόνιστα.

Α'. Βαρνάβας εἷς τῶν ὁ. ἢ μόνον τοῖς Ἀποστόλοις συναφθεὶς μετὰ τὴν ἀνάληψιν, καὶ τῷ Παύλῳ πρὸς τὸ κήρυγμα συνοδοιπορήσας, (§ 185). λέγεται ὅτι συνέγραψεν ἐπιστολὴν, ἥτις ἐν τοῖς νόθοις τε καὶ ἀντιλεγομένοις ἠρίθμηται [6]· οὐχ ὡς ἐπιδήλως καὶ ἀναμφιλέκτως ψευδεπίγραφος ὅμως, κατὰ τὴν τῶν πλειόνων κρίσιν [7]· ἀλλ' ὡς ἔξω τοῦ Κανόνος οὖσα.

Β'. Εὐόδιος ὁ πρῶτος Ἀντιοχείας Ἐπίσκοπος προχειρισθεὶς, ὑπομνήματά τινα λέγεται συγγεγραφώς· καὶ μάλιστα ἐπιστολὴν, φῶς ἐπιγεγραμμένην· ἐξ ἧς τεμμάχιον ὁ Κάλλιστος Νικηφόρος ἐξέδωκεν [8]). Ἀλλ' ἐπειδὴ περὶ τούτων οὐδεμία τοῖς παλαιοτέροις γίνεται μνεία, εἰκότως ἀμφιβάλλονται [9]).

Γ'. Διονύσιος ὁ Ἀρεοπαγίτης (§ 206.) εἴτινα ἄλλα συνέγραψε παρὰ τὰ καθ' ἡμᾶς ἐπ' ὀνόματι αὐτοῦ περιφερόμενα, ἄδηλον.

[6]) Εὐσέβ. Ἐκκλησ. Ἱστορ. Βιβλ. ς'. Κεφ. ιγ'.
[7]) Κλήμ. Ἀλέξανδρ. Στρωμ. Βιβλ Β'. καὶ Βιβλ. Ε'. Ὠριγέν. Α'. κατὰ Κέλσον. καὶ Γ'. περὶ Ἀρχ. Εὐσεβ. Ἐκκλ. Ἱστορ. Βιβλ. Γ'. Κεφαλ. κε' Καὶ Βιβλ. ς'. Κεφ. ιγ'. καὶ δι'.
[8]) Ἐκκλ. Ἱστορ. Βιβλ. Β'. Κεφ. γ'.
[9]) Ὅρα Καγίον Αἰῶν. Ἀποστ. Σελ. 25.

Δ'. Οἱ τῆς Ἀχαΐας Πρεσβύτεροι, λέγεται, ὅτι ἐν ἔτει ΝΘ'. τὸ διὰ μαρτυρίου πάθος τοῦ Πρωτοκλήτου Ἀνδρέου ἀνεκήρυξαν ἐπιστολήν τινα συγγράψαντες Ἐγκύκλιον· ἥτις ὅμως, ἕως ἀπὸ τοῦ Δ'. αἰῶνος ὑπὸ Φιλαστρίου, καὶ ἄλλων. διανενοθευμένη ἐκρίνετο· ὁμοίως καὶ τὰ περιφερόμενα τοῦ Ἀποστόλου Ἀνδρέου (πρακτικὰ) οὐκ ἀποδεκτά [10]).

Ε'. Ὁ Ἱερὸς Κλήμης ὁ Παύλου συνεργός τε καὶ συνοδοιπόρος (§ 279.) ἐξ ὀνόματος τῆς ἐν Ῥώμῃ Ἐκκλησίας ἔγραψε τὴν πρὸς τὴν Ἐκκλησίαν τῶν Κορινθίων ἐπιστολήν. »Ἦν Εἰρηναῖος μὲν [11]), ἱκανωτάτην γραφήν· »Εὐσέβιος δὲ [12]), μεγάλην τε καὶ Θαυμασίαν, καὶ »ἀνομολογουμένην παρὰ πᾶσιν· ὁ δὲ Φώτιος [13]) »ἀξιόλογον· ὁ δὲ Ἱερώνυμος [14]) λίαν ἐπωφελῆ, ὀνομάζουσιν. Φέρεται δὲ τοῦ αὐτοῦ Κλήμεντος, καὶ ἄλλη ἐπιστολὴ δευτέρα· ἢ μᾶλλον, ὁμιλία. μὴ ἐπίσης ὅμως κατὰ τὴν Α'. ἐγκρινομένη [15]).

Τοῦ αὐτοῦ δὲ Ἱεροῦ Κλήμεντος ὑποβολιμαῖα συγγράμματα κρίνονται τὰ ἑξῆς.

Τὸ Ἄθροισμα τῶν πέ. κανόνων· οἵτινες κανόνες τῶν Ἀποστόλων ὀνομάζονται, οὐχ ὡς ὑπὸ τούτων αὐτῶν ἐκδοθέντες, ἀλλ' ὡς κατὰ τὴν Ἀποστολικὴν διατύπωσίν τε καὶ διδασκαλίαν, ὑπὸ ἀνδρῶν Ἀποστολικῶν θεσπι-

[10]) Ὅρα Καβίον Αἰῶν. Ἀποστολ. Σελ. 26.
[11]) Παῤ Εὐσεβ. Ἐκκλ. Ἱστορ. Βιβλ. Ε'. Κεφ. ς'.
[12]) Αὐτ. αὐτ. Βιβλ. Γ'. Κεφ. ις'.
[13]) Ἐν Κώδικι ριβ'.
[14]) Περὶ τῶν Ἐκκλλ. Συγγραφ. Κεφ. ΙΕ'.
[15]) Ὅρα Εὐσέβ. ἐν Βιβλ. Γ'. τῆς Ἐκκλ. Ἱστορ. Κεφ λή. Καὶ Ἱερών καὶ Φώτι. ἔνθ ἀνωτ.

σθέντες, καὶ ὑπὸ τοῦ Ἀλεξανδρέως Κλήμεντος ἴσως [16]), πρώτου συναθροισθέντες.

Αἱ διαταγαὶ τῶν Ἀποστόλων ἐν βιβλίοις ἡ. ἐκ τῆς Ἀποστολικῆς ὁμοίως διδασκαλίας τε καὶ διατυπώσεως, ὑπὸ ἀνδρῶν Ἀποστολικῶν καὶ αὐταὶ ὕστερον ἐκτεθειμέναι.

Οἱ Ἀναγνωρισμοὶ ἐν βιβλίοις δέκα· ὧν ἐπ' ὀνόματι τῶν Κλήμεντος περιόδων ἐμνήσθη καὶ Ὠριγένης [17]). Ἐπειδὴ δὲ, ἐν τῷ Θ'. βιβλίῳ, Ἀπόσπασμά τι τῶν τοῦ Σύρου Βαρδησάνους, ἐκ τοῦ περὶ Εἱμαρμένης λόγου· [18]) ἀναγινώσκεται ἐπὶ λέξεως, ὑπενόησέ τις, οὐ πάντῃ ἀλόγως [19]), μήπως ὁ Βαρδησάνης αὐτὸς τὸ τῶν ἀναγνωρισμῶν βιβλία συνερράψωδησεν.

Τὰ Κλημέντια· (ἤτοι Κλήμεντος ὁμιλίαι ιθ'.) ἅτινα οὐδὲν ἄλλο εἶναι κρίνεται, ἢ, ἡ ἑτέρα τῶν ἀναγνωρισμῶν ἔκδοσις, ἥσπερ μέμνηται ὁ Ῥουφῖνος [20])

Κλήμεντος περὶ τῶν Πέτρου πράξεων, καὶ περιόδων, καὶ περὶ τοῦ κηρύγματος. Τοῦ αὐτοῦ δὲ, καὶ ἐπιστολήτις πρὸς Ἰάκωβον τὸν Ἀδελφόθεον, καὶ ἡ κατ' αὐτὸν Λειτουργία. Καὶ ἐπιστολιμαῖα τινὰ Διατάγματα [21]). Ἅτινα δὴ πάντα ἐπὶ τὸ αὐτὸ ἠθροισμένα, γνήσιάτε, καὶ μὴ, τοῦ Κλήμεντος συγγράματα ὑπὸ Κοτελερίου Ἑλληνιστὶ, καὶ Λατινιστὶ, μετὰ σημειωμάτων ἐκδέδοται.

---

[16]) Ὅρα Εὐσέβ. Ἐκκλ. Ἱστορ. Βιβλ. ε'. Κεφ ιγ'. Ἱερώνυμ. περὶ Ἐκκλ Συγγραφ. Κεφ. ιέ. Φώτιον. ἐν Κώδικι ριά.

[17]) Φιλοκαλ. Κεφ. κγ'.

[18]) Τοῦ παῤ Εὐσεβίῳ ἐκ τῆ Εὐαγγελ. Προπαρασκ. Βιβλ. ς'. Κεφ ί.

[19]) Καβίος Λίων Ἀποστολ. Σελ. 30.

[20]) Παρὰ Καβίῳ ἔνθ. εἴρηται.

[21]) Ὅρα περὶ τούτων Καβίον ἔνθ. ἀνωτ. Καὶ Ἰωὰν Ἄλβερτον Φαβρίκ. Ἑλληνικ. Βιβλ. Τεύχ. Ε'. Σελ. 31.

ς'. Ἑρμᾶς ὁ Κλήμεντι σύγχρονος (§ 280). Τούτου τρία σώζονται βιβλία, Ἑλληνιστὶ καθ' ἡμᾶς ἐκδεδομένα. Ὧν τὸ μὲν Α'., ᾧ Ἐπιγραφὴ Ἐκκλησία· τέσσαρας ὁράσεις περιέχει, τὰς Ἑρμᾷ γενομένας. Τὸ δὲ Β'., Ποιμὴν ἐπιγραφόμενον, δώδεκα ἐπιτάγματα περιλαμβάνει, τὰ ὑπὸ τοῦ Ἀγγέλου ἐν μορφῇ ποιμένος αὐτῷ προβληθέντα. Τὸ δὲ Γ'. παραβολὰς δέκα εἰσάγει λίαν ἐπωφελεῖς, εἰς ὑποθήκην βίου μακαρίου καὶ χριστιανῷ πρέποντος [22]).

Ζ'. Φίλων ὁ Ἰουδαῖος, ὁ κατὰ τοὺς χρόνους Γαΐου τοῦ Καλιγόλα ἀκμάσας, πρὸς ὅν, καὶ ὑπὲρ τοῦ ἰδίου διεπρεσβεύσατο ἔθνους· (§ 180). διάφορα συνέγραψεν [23]), ὧν καλλίστη μὲν ἡ φράσις, καὶ πρὸς τὴν Πλατωνικὴν ἰδέαν ἐξησκημένη· οὐκ ἀσυντελὴς δὲ εἰς εἴδησιν τῶν ἐν τοῖς Ἱεροῖς Λογίοις ἀναγεγραμμένων ἡ ἀνάγνωσις· ὅθεν καὶ μεταξὺ τῶν Ἐκκλησιαστικῶν συγγραφέων τῆς Α'. ἑκατονταετηρίδος ὑφ' ἡμῶν ἐνταῦθα ἠρίθμηται· ὡς καὶ οἱ ἑξῆς δύο.

Η'. Ἰώσηπος ὁ Φλάβιος, καὶ αὐτὸς Ἰουδαῖος, ὁ ἐπὶ Οὐεσπασιανοῦ, καὶ Τίτου, καὶ Δομιτιανοῦ εὐδοκιμήσας. Συνέταξε τὰς Ἰουδαϊκὰς Ἀρχαιολογίας ἐν βιβλίοις κ'. Καὶ τὰ περὶ τῆς ἁλώσεως Ἱερουσαλὴμ ἐν βιβλίοις ζ'. Καὶ κατὰ Ἀππίωνος βιβλ. β'. Καὶ εἰς τοὺς Μακκαβαίους, ἤτοι περὶ Αὐτοκράτορος λογισμοῦ. Καὶ βίον αὐτὸς τὸν ἑαυτοῦ.

Θ'. Ἰοῦστος καὶ οὗτος Ἰουδαῖος Τιβεριεύς, τῷ Ἰω-

---

[22]) Ὅρα Καβίον, καὶ Φαβρίκ. ἔνθ ἀνωτ.

[23]) Τῶν συγγραμμάτων τοῦ Φίλωνος τὸν Ἀκριβῆ Κατάλογον εὑρήσεις, παρὰ τοῖς ἐκ προθέσεως ἐκδεδωκόσιν τὰ τῶν Συγγραφ. Φιλοπονήματα, Καβέῳ Φαβρικίῳ, Λουπίνῳ, καὶ ἄλλοις.

σήπω ὁμόχρονος· Συγγεγραφέναι λέγεται χρονικὸν τῶν Βασιλέων Ἰούδα· καὶ ὑπομνήματα τοῦ Ἰουδαϊκοῦ πολέμου· τούτου δὲ, καὶ τῶν εἰρημένων αὐτοῦ Συγγραμμάτων μέμνηται ὁ Φώτιος [24]), προσεπισημειώσας πρὸς τοῖς ἄλλοις, ὅτι τὰ Ἰουδαίων νοσῶν, τὰ περὶ τοῦ Χριστοῦ ὅλως κατεσιώπησεν.

ΚΑΤΑΛΟΓΟΣ ΙΒ΄.

Τὰ Ἀπόκρυφα Εὐαγγέλιά τε, καὶ ἄλλα ὑπομνήματα νόθα.

Α΄. Τὸ Εὐαγγέλιον τῶν δώδεκα Ἀποστόλων, ὅπερ ἀναφέρει Ἱερώνυμος καὶ Ὠριγένης [1]), καὶ Ἀμβρόσιος [2]), καὶ Θεοφύλακτος [3]).

Β΄. Τὸ κατὰ Πέτρον Εὐαγγέλιον παρὰ Γελασίῳ [4]), καὶ Ὠριγένει [5]), καὶ Εὐσεβίῳ [6]).

Γ΄. Τὸ κατὰ Ἀνδρέαν [7]).

Δ΄. Τὸ κατὰ Ἰωάννην περὶ τῆς Κοιμήσεως τῆς Παρθένου [8])· ὅ τινες τῶν χειρογράφων Κωδίκων, καὶ κατὰ Ἰάκωβον ἐπιγράφουσιν [9]).

Ε΄. Τὸ κατὰ Ἰάκωβον τὸν μείζονα [10]).

ς΄. Τὸ κατὰ Ἰάκωβον τὸν ἐλάσσονα, ὅ καὶ πρωτευαγγέλιον ἐπιγράφεται [11]).

---

24) *Ἐν Κώδικι λγ΄.*

1) *Ὁμιλ. Α΄. εἰς Λουκᾶν.*

2) *Ἐν προοιμ. τοῦ εἰς Λουκ. ὑπομνήμ.*

3) *Ἐν ἀρχῇ τῆς εἰς Λουκ. Ἑρμην.*

4) *Ἐν τῷ Δεκρέτῳ.*

5) *Ἐν τῷ εἰς τὸν Ματθ. ὑπομνήματι.*

6) *Ἐκκλ. Ἱστορ. βιβλ. Γ΄. Κεφ. κέ.*

7) *Παρὰ Γελασίῳ ἐν τῷ Δεκρέτῳ·*

8) *Ἐν τῷ Γελασ. Δεκρ.*

9) *Ὅρα Λαμβέκιον ἐν ὑπομνήμ. τῆς ἐν Βιέννῃ βιβλιοθ. βιβλ. Α΄. Σελ.* 130.

10) *Τοῦτο ἐν Ἱσπανίᾳ ἀνακύψαν ἔτει* 1595. *ὑπὸ τοῦ Πάπα Ἰννοκεντίου τοῦ ΙΑ΄. φλοξὶ παρεδοθη ἐν τῷ* 1682.

11) *Ἐν τῷ Γελασ. Δεκρ.*

Ζ΄. Τὸ κατὰ Βαρνάβαν [12]).

Η΄. Τὸ κατὰ Βαρθολομαῖον [13]).

Θ΄. Τὸ κατὰ Θαδδαῖον, ἕνα τῶν ὁ, (§ 172), [14]).

Ι΄. Τὸ κατὰ Ἰούδαν Θαδδαῖον, τὸν Ἀπόστολον [15]).

ΙΑ΄. Τὸ κατὰ Ἰούδαν τὸν Ἰσκαριώτην· τούτου δὲ μέμνηνται Εἰρηναῖος [16]) καὶ Ἐπιφάνιος [17]), καὶ Θεοδώριτος [18]).

ΙΒ΄. Τὸ κατὰ Φίλιππον [19]).

ΙΓ΄. Τὸ κατὰ Θωμᾶν· λέγουσι δέ τινες, ὅτι αὐτὸ εἶναι τὸ πρῶτον τῶν Μανιχαίων, οὗ μέμνηται καὶ Γελάσιος [20]).

ΙΔ΄. Τὸ κατὰ Ματθίαν [21]).

ΙΕ΄. Τὸ κατὰ Παῦλον. Ἔστι δὲ αὐτὸ κατὰ Λουκᾶν ὡς Ἱερώνυμος φησὶν ἐν τῷ Καταλόγῳ, γραφὲν ὑπ' αὐτοῦ τοῦ Παύλου, κατὰ τὴν γνώμην δηλαδὴ τοῦ Μαρκίωνος [22]).

Ις΄. Τὸ κατὰ Νικόδημον, ὅπερ καὶ καθ' ἡμᾶς ὁλόκληρον διασώζεται. Εὑρεθὲν ἐπὶ Θεοδοσίου τοῦ Αὐτο-

---

12) *Αὐτόθι.*

13) *Καὶ παρὰ Ἱερων. καὶ Βέδᾳ.*

14) *Ἐν τῷ Γελασ. Δεκρ. καὶ παῤ Εὐσέβ. Ἐκκλ. Ἱστορ. Βιβλ. Α΄. Κεφ. ιγ΄.*

15) *Ἐν τῷ Εἰρημ. Δεκρέτῳ.*

16) *Βιβλ. Α΄. κατὰ Αἱρέσ. Κεφ. λέ.*

17) *Αἱρέσ. ΚΗ΄. Ἀριθμ. ά.*

18) *Αἱρετικ. Μυθαρ. Κεφ. ιέ.*

19) *Ἐπιφαν. Αἱρέσ. Κς΄. Ἀριθμ. ιγ΄. καὶ Λεόντιος περὶ Αἱρέσ.*

20) *Ἐν τῷ Δεκρέτῳ*

21) *Παρὰ Γελασίῳ, καὶ Ἱερων. καὶ Ὠριγένει εἰς Λουκ. Ὁμιλ. Α΄. καὶ Εὐσέβ. ἐν Ἐκκλ. Ἱστορ. Βιβλ. Γ΄. Κεφ. λέ. καὶ Ἀμβροσ. ἐν Προοιμ. εἰς τὸν Λουκᾶν. Καὶ Βέδᾳ ἐν τῷ εἰς τὸν Λουκ. ὑπομνήματι.*

22) *Εἰρην. Βιβλ. Α΄. Κεφ. κθ΄. Καὶ Βιβλ. Γ΄. Κεφ. ιβ΄. Καὶ Ὠριγέν. Βιβλ. Β΄. κατὰ Κέλσου. Καὶ Τερτυλ. Βιβλ. Δ΄. κατα Μαρκίων. Κεφ. γ΄. Καὶ Ἐπιφάν. Αἱρέσ. ΜΒ΄.*

κράτορος ἐν τοῖς Δημοσίοις Κώδιξι, τοῖς ἐν τῷ Πραιτωρίῳ Πιλάτου ἐν Ἰεροσολύμοις, Ἑβραϊστὶ γεγραμμένον.

ΙΖ΄. Τὸ κατὰ Ἀπελλῆν [23]), ἐξ οὗ Εὐαγγελίου καὶ Ἐπιφάνιος [24]) ἀποσπασμάτιόν τι ἀναφέρει.

ΙΗ΄. Τὸ κατὰ Βασιλείδην [25]).

ΙΘ΄. Τὸ Κήρινθον [26]). Ἴσως δὲ τοῦτο εἶναι τὸ κατὰ Ματθαῖον, ὡς ὁ Κήρινθος αὐτῷ παραπεποιημένῳ ἐχρῆτο.

Κ΄. Τὸ καθ' Ἡσύχιον [27]), ὅπερ καὶ Εὐαγγέλιον τοῦ Λουκιανοῦ εἴρηται.

ΚΑ΄. Τὸ κατὰ Μαρκίωνα· τοῦτο δὲ ἦν τὸ κατὰ Λουκᾶν, ὑπὸ Παύλου συγγραφὲν, κατὰ τὴν Μαρκίωνος κρίσιν, ὡς ἀνωτ. εἴρηται (ΙΕ΄.)

ΚΒ΄. Τὸ Λευκίου, ἢ Λεντικίου, ἢ Λεντίου, ἢ Λεοντίου, ἢ Λουκίου [28]).

ΚΓ΄. Τὸ Τατιανοῦ, ὅ λέγεται καὶ Εὐαγγέλιον τῶν ἐγκρατιτῶν [29]).

ΚΔ΄. Τὸ κατὰ Οὐαλεντῖνον, ὅπερ καὶ Εὐαγγέλιον εἴρηται τῆς ἀληθείας [30]).

ΚΕ΄. Τὸ τῶν Ἐβιωνιτῶν, ἢ Ἐβιωναίων [31]).

---

22) Ἱερώνυμ. ἐν τῷ προοιμ. τῷ εἰς τὸν Ματθ. Καὶ Βέδας ἐν τῷ ὑπομνήματι τῷ εἰς τὸν Λουκᾶν,

23) Αἱρέσ. ΜΔ΄. Ἀριθμ. β΄.

24) Ἀναφέρεται παρὰ Ὠριγένει, καὶ Ἱερωνύμῳ καὶ Ἀμβροσίῳ.

25) Ἐπιφάν. Αἱρέσ. ΝΑ΄. Ἀριθμ. ζ.

26) Παρὰ Ἱερων. ἐν τῷ προλόγῳ τῷ εἰς τὰ Εὐαγγέλ. Καὶ παρὰ Γελασ. ἐν τῷ Λεκρ.

27) Παρὰ Γελασίῳ ἐν τῷ Δεκρέτῳ. Καὶ Αὐγουστ. Βιβλ. περὶ πίστιως κατὰ Μανιχαίων.

28) Ἐπιφάν. Αἱρέσ. Μ΄. Ἀριθμ. ά.

29) Παρὰ Εἰρην. Βιβλ. Γ΄. κατὰ Αἱρέσ. Κεφ. ιά.

30) Παρὰ Ἐπιφαν. Αἱρέσ. Λ΄. Ἀριθμ. ιγ΄. ις΄. κά. κέ.

Κ ξ΄. Τὸ κατ' Αἰγυπτίους [32])· οὗ μέμνηται καὶ ὁ Ῥωμαῖος Κλήμης [33])· καὶ Κλήμης ὁ Αλεξανδρεύς [34]).

ΚΖ΄. Τὸ τῶν Γνωστικῶν [35]).

ΚΗ΄. Τὸ κατὰ Ἑβραίους [36]).

ΚΘ΄. Τὸ κατὰ Μανιχαίους Α΄., ὅ καὶ Εὐαγγέλιον λέγεται τὸ κατὰ Θωμᾶν (ΙΓ΄.) Καὶ τὸ Β΄., ὅ λέγεται Εὐαγγέλιον τὸ ζῶν· περὶ οὗ Φώτιος [37]). Καὶ Κύριλλος ὁ Ἱεροσολυμίτης [38]). Καὶ Ἐπιφάνιος [39]). Καὶ Γ΄. ἔτι Εὐαγγέλιον ἄλλο, τὸ ὑπὸ Διοδώρου ἀπελεγχθέν [40]).

Λ΄. Τὸ τῶν Ναζωραίων· ἔστι δὲ τὸ αὐτὸ τῷ κατὰ Ἑβραίους (ΚΗ΄.) ἢ τὸ τοῦ Ματθαίου. τοῦτο ἐστὶν, Ἑβραϊστὶ γεγραμμένον [41]).

ΛΑ΄. Τὸ τῶν Σιμωνιανῶν, περὶ οὗ ἐν ταῖς διαταγαῖς τῶν Ἀποστόλων γίνεται μνεία [42]).

ΛΒ΄. Τὸ τῶν Σύρων [43]).

ΛΓ΄. Τὸ τῆς νηπιότητος τοῦ Χριστοῦ [44]).

ΛΔ΄. Τὸ Εὐαγγέλιον τὸ Αἰώνιον, ἐξ ὧν ἀναγινώσκομεν Ἀποκαλύψ. Κεφ. ΙΔ΄. 6. πλασθὲν ὕστερον παρὰ

---

32) Παρ' Ἱερων. ἐν προοιμ. εἰς τὸν Ματθ. καὶ Ἐπιφάν. Αἱρέσ. Ξ΄.

33) Ἐν Ἐπιστολ. Β΄.

34) Ἐν Στρωματ. Γ΄.

35) Ἐπιφαν. Αἱρεσ. Κς΄. Ἀριθμ. ή.

36) Περὶ τούτου Βέδας ἐν τοῖς κατὰ Λουκᾶν ὑπομνήμασι

37) Ἐν χειρογράφῳ βιβλίῳ κατὰ Μανιχαίων.

38) Ἐν Κατηχήσει ς΄.

39) Αἱρέσει Ξς΄.

40) Ἐν βιβλ. ΚΕ΄. κατὰ Μανιχ. περὶ ἧς Φώτ. Μυριοβίβλου Κώδικι πέ.

41) Εὐσέβ. ἐν Ἱστορ. Ἐκκλ. Βιβλ. Γ΄. Κεφ. λθ΄. ἐκ τοῦ Παπίου.

42) Βιβλ. ς΄. Κεφ. ςι΄.

43) Εὐσέβ. Ἐκκλ. Ἱστορ. Βιβλ. Λ΄. Κεφ. κβ΄. Καὶ Ἱερώνυμ. ἐν τῷ καταλόγῳ.

44) Παρὰ Γελαστ. ἐν τῷ Δεκρέτῳ.

SISMANOGLIO MEGARO

τῶν Φράρων τῶ Mendicantium· ἤτοι τῶν προσαιτούντων, κατὰ τὸ μέσον τοῦ ΙΓ'. αἰῶνος. καὶ τελευταῖον κατακριθὲν πυρίκαυστον γενέσθαι, ὑπὸ τοῦ Πάπα Ἀλεξάνδρου τοῦ Δ'., κρυφίως ὅμως· ἵνα μὴ πανδήμως καταισχυνθῶσιν οἱ ῥαδιουργήσαντες Φράτορες.

ΛΕ'. Τὸ Εὐαγγέλιον τῆς Εὔας [45]).

Λς'. Τὸ Εὐαγγέλιον τῆς τελειότητος [46])

ΛΖ'. Περὶ τῆς Γεννήσεως τῆς Ἁγίας Παρθένου, βιβλία τρία [47]).

ΛΗ'. Περὶ τῆς ὑπεραγίας Παρθένου, καὶ τῆς Μαίας αὐτῆς, βιβλίον [48]).

ΛΘ'. Ἐρωτήσεις τῆς ἀειπαρθένου Μαρίας, μεγάλαι τε καὶ μικράι. Βιβλία δύο [49]).

Μ'. Περὶ τῆς Γεννήσεως τοῦ Σωτῆρος [50]).

ΜΑ'. Ἱστορία τῶν Δεσποσύνων, περὶ τῆς Χριστοῦ Γενεαλογίας [51]).

ΜΒ'. Ἱστορία τῆς Χριστοῦ συγγενείας εὑρεθεῖσα ἐπὶ Αὐτοκράτορος Ἰουστινιανοῦ [52]).

Ἐν τοῖς Ἀποκρύφοις τάσσονται καὶ τα ἑξῆς.

ΜΓ'. Αἱ Παύλου καὶ Θέκλης περίοδοι ὑπὸ πρεσβυτέρου τινὸς Ἀσιατικοῦ παραπεπλασμέναι· ὅς σπουδαστὴς

---

45) Παρ' Ἐπιφανίῳ Αἱρέσ. Κς'. Ἀριθμ. γ'.

46) Παρὰ τῷ αὐτῷ Ἐπιφαν. Αἱρέσει Κς'. Ἀριθμ. β'. Καὶ Κλήμεντι τῷ Ἀλεξανδρ. Στρωματ. Γ'.

47) Παρ' Ἐπιφαν. Αἱρέσ. Κς'. Ἀριθμ. ιβ'. Καὶ Γρηγορ. Νύσσης, Ὁμιλ. ἐν Τόμ. Γ'. Σελ. 346. Καὶ Αὐγουστ. κατὰ Φαύστου Βιβλ. ΚΓ'. Κεφ θ'.

48) Γελάσ. ἐν τῷ Δεκρ. καὶ Ἱερών. ἐν τῷ κατὰ Ἑλβιδίου.

49) Ἐπιφ. Αἱρέσ· ΚΗ'. Ἀριθμ. ή.

50) Ἐν τῷ Γελασίου Δεκρέτῳ.

51) Ἰούλιος ὁ Ἀφρικανὸς Ἐπιστ. πρὸς Ἀριστείδ. παρὰ Εὐσεβ. Ἐκκλ. Ἱστορ. Βιβλ. Α'. Κεφ. ζ'. Καὶ Νικηφ. Κάλλιστ. Βιβλ. Α'. Κεφ. β'. τῆς Ἐκκλ· Ἱστορ.

52) Παρὰ Σουίδα.

ὧν τοῦ Ἀποστόλου, ἐνόμισεν ἐπαίνου ἄξιον, τὸ περὶ αὐτοῦ καὶ τὰ μὴ ὄντα ἐκδιηγήσασθαι, διὸ καὶ ὑπὸ Ἰωάννου τοῦ Ἀποστόλου καὶ Εὐαγγελιστοῦ δεόντως κατερίθη [1]). Τῆς δ' αὐτῆς ἠξίωνται ὑπολήψεως, καὶ τὰ καθ' ἡμᾶς περιφερόμενα πρακτικὰ τῆς πρωτομάρτυρος Θέκλης. Καὶ γὰρ εἰμὴ πάντα, τὰ πλεῖστα μέν τοι ἐν τούτοις, ἀπὸ τῶν Ἀρχαιοτέρων ἐκείνων ἀποκρύφων ἐλήφθησαν. Τῆς δὲ περικλεοῦς Μάρτυρος ταύτης μετὰ δικαίων ἐπαίνων τε καὶ εὐφημιῶν ἐμνήσθησαν τῶν πατέρων οἱ ἐπισημότατοι [2]).

ΜΑ'. Αἱ πράξεις, τὸ κήρυγμα, ἡ Ἀποκάλυψις, ἡ δίκη τοῦ Ἀποστόλου Πέτρου [3]).

ΜΕ'. Αἱ πράξεις τοῦ Παύλου, ὑποβληθεῖσαι ὑπὸ τῶν Μανιχαίων [4]).

Μς'. Αἱ τοῦ Ἀνδρέου, αἷς οἱ ἐγκρατῖται ἐχρῶντο· καὶ οἱ καλούμενοι Ἀποστολικοί· καὶ οἱ περὶ Ὠριγένην [5]). Καὶ αἱ τοῦ Ἰωάννου [6]). Καὶ αἱ τοῦ Φιλίππου, καὶ αἱ τοῦ Θωμᾶ, καὶ αἱ τῶν Ἀποστόλων καθόλου, ὑπὸ τῶν Ἐβιωναίων ῥαψῳδηθεῖσαι [7]).

---

1) Τερτυλλ. Βιβλ. περὶ τοῦ Βαπτισμ. Ἱερών περὶ τῶν Συγγραφ. Κεφ. ζ'. καὶ Γελάσιος.

2) Γρηγόρ. ὁ Ναζιανζ. ἐν τῷ περὶ Παρθεν. καὶ ἐν τοῖς Μέτροις. Καὶ ὁ Νύσσης εἰς Μακρίναν. Καὶ ὁ Χρυσόστ. ὁμιλ. κέ εἰς τὰς πράξεις. καὶ κβ'. εἰς τοὺς Ἀντιοχεῖς. Καὶ Ἰσίδωρος ὁ Πηλουσιώτης Βιβλ. Α'. Ἐπιστ. πξ'. καὶ ρξ'. Καὶ Ἐπιφάν Αἱρέσει ΟΗ'. Ἀριθμ. 16.

3) Τούτων καὶ Κλήμης ἐμνήσθη ὁ Ἀλεξανδρ. καὶ, Ὠριγέν καὶ Ἱερώνυμ.

4) Τούτων μέμνηται Ἱερών καὶ Φιλάστριος.

5) Παρὰ Δουπίνῳ ἐν τῷ προεισοδιώδει Λόγῳ πρὸ τῶν θείων Γραφῶν.

6) Περὶ ὧν Ἐπιφάν. Αἱρέσ. ΜΖ'. Φιλάστριος Αἱρεσ. ΜΗ'. Καὶ Αὐγουστῖν. Βιβλ. περὶ Πίστ. κατὰ Μανιχαίων.

7) Ἱερώνυμ. Αἱρέσ. Ἐβιωναίων.

ΜΖ'. Τὸ Ἀναβατικὸν τοῦ Παύλου, πλασθὲν ὑπὸ τῶν Γαϊανιτῶν, ᾧπερ ἐχρῶντο καὶ οἱ Γνωστικοὶ [8]).

ΜΗ'. Ἡ μνήμη τῶν Ἀποστόλων, σύγγραμμα συνταχθὲν ὑπὸ τῶν Πρισκυλλιανιστῶν. Καὶ τὸ ὁδοιπορικὸν τῶν Ἀποστόλων, τὸ ἀποβληθὲν ἀπὸ τῆς Β'. τῶν ἐν Νικαίᾳ Οἰκουμενικῆς Συνόδου [9]). Καὶ οἱ τῶν αὐτῶν Ἀποστόλων Κλῆροι [10]). Καὶ Βιβλίον ἕτερον τῶν Ἀποστόλων ὑπὸ Μαρκίωνος ῥαδιουργηθέν [11]). Τό τε περὶ τῆς Μεταστάσεως τῆς Θεοτόκου τὸ ἀποδοθὲν τῷ Ἀποστόλῳ Ἰωάννῃ· ὅ, ταυτὸν ἴσως ἐστὶ, τῷ ὑπ' ὀνόματι φερομένῳ τῷ τοῦ Μελίτωνος, ἐν τῇ τῶν πατέρων Βιβλιοθήκῃ [12]).

ΜΘ'. Ἡ τοῦ Πέτρου Ἀποκάλυψις· [13]) ἥτις, ὡς μηδὲν ἄτοπον περιέχουσα, ἀνεγινώσκετο ποτὲ κατὰ τὰς ἡμέρας τοῦ Πάσχα ἐν ταῖς Ἐκκλησίαις τῆς Παλαιστίνης [14]).

Ν'. Ἡ Ἀποκάλυψις τοῦ Παύλου· ἥτις περὶ πολλοῦ μὲν ἐγίνετο πάλαι τοῖς Μοναστα῀ς· [15]) οὐ ὀλίγου δὲ καὶ καθ' ἡμᾶς παρὰ τοῖς Κόπταις τιμᾶται [16]).

ΝΑ'. Ἀποκάλυψις Θωμᾶ, καὶ Στεφάνου. [17]).

ΝΒ'. Ἀποκάλυψις ἡ τοῦ Μεγάλου Ἀποστόλου, συνταχθεῖσα ὑπὸ Κηρίνθου· καὶ ἡ τοῦ Ἀβραὰμ, ὑπὸ τῶν Σηθιανῶν [18]). Καὶ ἡ τοῦ Σήθ, καὶ Νουρίας τῆς γυναικὸς

---

8) Ἐπιφάν. Αἱρέσ. Η'.
9) Ἐν πράξει Ε'.
10) Γελασ. ἐν τῷ Λεκρ
11) Οὗ μνεία γίνεται παῤ Ἐπιφαν. Αἱρέσ. ΜΖ'. καὶ ΞΑ'.
12) Ἐν τῷ Γελασ Λεκρ.
13) Κλήμ. ἐν ὑποτυπώσ. Εὐσέβ. Ἐκκλ. Ἱστορ. Βιβλ. Γ'. Κεφ. κέ.
14) Σωζόμενος Ἱστορ. Βιβλ Ζ'. Κεφ. ιθ'.
15) Παρὰ τῷ Σωζομένῳ
16) Γελάσ. ἐν τῷ Λεκρ.
17) Παρὰ Γελασ. ἐν τῷ Λεκρ.
18) Ἐπιφάν. Αἱρέσ. ΛΘ'. Ἀριθμ. 4.

τοῦ Νῶε. Ἅπαντα ταῦτα τὰ κατηριθμημένα ὧδε συγγράμματα ἀπώλοντο. Ἀλλὰ τούτου γε ἕνεκα, ὡς ὁ Δουπῖνος λέγει [19]), δὲν ἔχομεν αἰτίαν παρὰ πολὺ νὰ λυπούμεθα.

ΝΓ'. Τὰ περὶ τοῦ πάθους τῶν Κορυφαίων Ἀποστόλων, Πέτρου, καὶ Παύλου βιβλία δύο, τὰ τῷ Λίνῳ προσαναγραφόμενα, ἐπίσης παρὰ πάντων ἀποσκυβαλίζεται [20]).

ΝΔ'. Οἱ βίοι τῶν Ἀποστόλων, Ἀβδίαν τινὰ, μαθητὴν δῆθεν τοῦ Σωτῆρος χρηματίσαντα, Συγγραφέα ἐπιγραφόμενοι, σὺν αὐτῷ τῷ ὀνόματι, φανερὰν προΐσχονται τὴν τῆς νοθείας ῥᾳδιουργίαν.

ΝΕ'. Ὁ βίος Ἰωάννου τοῦ ἐπιστηθίου, ὁ ἐν τοῖς ὀρθοδοξογράφοις καταλεγόμενος, καὶ ἐν ταῖς Βιβλιοθήκαις τῶν πατέρων καὶ καθ' ἡμᾶς ἐμφερόμενος, ὑποβολιμαῖον πόνημα κατὰ πάντας κρίνεται· καὶ Προχώρου τοῦ ἑνὸς τῶν ἑπτὰ Διακόνων, οὗ τὸ ὄνομα ἐπιφέρει, πάντως ἀνάξιον.

ΝΣ'. Αἱ Λειτουργίαι Πέτρου, Μάρκου, Ἰακώβου, καὶ τ῀ς Ματθαίου ἡ παρὰ τοῖς Αἰθίοψιν ἐν χρήσει οὖσα, εἰ καὶ μηδὲν ἴσως ἄτοπον περιέχουσιν· ἀλλὰ πολλαχόθεν ὡς ψευδεπίγραφοι ἀπελέγχονται.

ΝΖ'. Ἡ Ἀβγάρου τοῦ Ἐδέσσης Τοπάρχου ἐπιστολὴ πρὸς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν· καὶ ἡ τοῦ Θεανθρώπου πρὸς ἐκείνην ἀπάντησις [21]), καί τοι μηδὲν τῆς εὐσεβείας, καὶ τοῦ ὀρθοῦ λόγου ἀπάδον προβαλόμεναι· μηδὲ ἄλλως ἐυκόλως κακοπλαστίας ἀπελεγχθῆναι δυνά-

---

19) Ἐν τῷ προεισοδιώδει Λόγῳ τῷ πρὸ τῶν Θείων Γραφ. Βιβλ. Β'. Κεφ. ς'. § 6.
20) Τὰ νῦν Σωζόμενα, ἀπαιδεύτου τινὸς καὶ βαρβάρου Μοναχοῦ πόνημα κρίνεται παρὰ Βοσσίῳ ἐν Ἱστορ. Ἑλλην. Βιβλ. Β'. Κεφ. θ'.
21) Παῤ Εὐσεβ. Βιβλ. Α'. Κεφ. ιγ'. τῆς Ἐκκλ. Ἱστορ.

μεναι· ἀλλὰ κατὰ τοῦτο μόνον τοῖς ἀποκρύφοις συναριθμοῦνται, καθότι ἐν τῷ τῆς Ἐκκλησίας κανόνι οὐδαμῶς ἀνεγράφησαν (§ 172).

ΝΗ'. Τὸ γράμμα τοῦ Κυρίου Ἰησοῦ τὸ πρὸς Πέτρον, δι' οὗ δῆθεν ἐκδιδάσκει ὁ Κύριος τοὺς αὐτοῦ μαθητὰς τὸν τρόπον τοῦ τὰ τέρατα καὶ τὰ σημεῖα ποιεῖν, ἀσεβὲς καὶ κοκόπλαστον.

ΝΘ'. Αἱ ἐπιστολαὶ, ἡ τῆς Θεοτόκου πρὸς τὸν Θεοφόρον Ἰγνάτιον, καὶ ἡ τούτου ἀμοιβαία πρὸς τὴν Θεομήτορα, ὑπ' οὐδενὸς ἐγκρίνονται, εἰ μὴ τυχόν τις εἴη κατὰ τὸν Μοναχὸν Βερνάρδον [22]) Θερμουργὸς ἀνὴρ, καὶ ἐνθουσιασμοῦ ἔμπλεως. Ὁμοίως καὶ ἡ τῆς Παρθένου ἐπιστολὴ πρὸς τοὺς Μεσσηνίους· καὶ ἡ ἄλλη ἡ πρὸς τοὺς Φλωρεντινοὺς, ἃς ληροῦσιν, ὅτι ἐξ Ἱερουσαλὴμ ἡ τοῦ Κυρίου Μήτηρ Ἑβραϊστὶ ἔγραψεν· ὁ δὲ Παῦλος αὐτὰς ἐξελλήνισεν. (ὧν τὴν πρὸς Μεσσηνίους καὶ Κωνσταντῖνος ὕστερον ὁ Λάσκαρις ἐκ τοῦ Ἑλληνικοῦ εἰς τὸ Λατινικὸν μεθηρμήνευσε) καὶ αὗται ἐν τοῖς κακοπλάστοις εὐλόγως τάττονται [23]).

Ξ'. Αἱ ἐπιστολαὶ Λεντούλου καὶ Πιλάτου, περὶ τοῦ Ἰησοῦ Χριστοῦ. καὶ ἡ τοῦ αὐτοῦ Πιλάτου, περὶ τοῦ θανάτου εἰς ὃν κατεκρίθη ὁ Ἰησοῦς, πρὸς Καίσαρα ἀναφορὰ τὸν Τιβέριον (§ 174).

ΞΑ'. Αἱ τοῦ Σενέκα πρὸς Παῦλον, καὶ ἀνάπαλιν

---

[22]) *Ταύτας αὐτὸς μόνος ἐγκρίνων φαίνεται, ἐν ὁμιλ. τῇ εἰς τὸν ψαλμόν: Ὁ κατοικῶν' κτ.*

[23]) *Ὅρα Λουπῖνον ἐν τῷ προεισοδιώδει Λόγῳ, τῷ περὶ τῆς Ἱερᾶς Γραφ. Βιβλ. Β'. Κεφ. Ε'. § β'. Καὶ ἐν τῇ τῶν Ἐκκλ. Συγγραφ. Βιβλιοθ. περὶ Ἰγνατίου Σελ. 41. Καὶ Καλμέτου Λεξικὸν τῆς Θείας Γραφῆς, ἐν Λέξει Η. Marie.*

ἆς, καί τοιγε Ἱερώνυμος [24]), καὶ Αὐγουστῖνος [25]), ἀναφέρουσιν, εἶναι ὅμως φανερὸν, ὅτι κατὰ τὴν τότε κοινοτέραν λαλοῦντες ὑπόληψιν ἀναφέρουσιν αὐτάς. Ὁ γὰρ Ἱερὸς Αὐγουστῖνος ἐν ἄλλοις [26]) μαρτυρεῖ περὶ τοῦ Σενέκα, ὅτι οὗτος περὶ τῶν χριστιανῶν οὐδ' εἰς κακὸν, οὐδ' εἰς καλὸν ὅλως ἐλάλησεν.

ΞΒ'. Καὶ τὰ Μαρκέλλου δὲ τοῦ Ῥωμαίου, περὶ τῶν πράξεων τῶν Μακαρίων Ἀποστόλων Πέτρου καὶ Παύλου· καὶ τὰ περὶ τῶν Μαγικῶν δὲ μαγγανευμάτων Σίμωνος τοῦ Μάγου, κξ. τῆς αὐτῆς Ζύμης εἶναι τὸ τὰ πάντα κρίνεται.

Ταῦτα τοίνυν, εἰ καὶ μὴ ἐν αὐτῷ ἴσως τῷ Α'. Ἐκκλησιαστικῷ αἰῶνι πάντα συγγεγραμμένα, ἀλλ' ἐν αὐτῷ δήπου γενέσθαι ὑποκρινόμενα τὸν συγγράψαντα, ὡς ἐν Συρφετῷ ὧδε κοινῷ κατὰ Σύνοψιν παρεῤῥίφθησαν. Εὑρήσεις δὲ περὶ τούτων πραγματευομένους πλατύτερον, Ἰωάννην Βαπτιστ. Κοτελέριον ἐν τῷ περὶ τῶν Ἀποστολικ. πατέρων. Καὶ Ἰωάν. Ἄλβερτον Φαβρίκιον ἐν τῷ περὶ τῶν ἀποκρύφων Κωδίκων τῆς Καινῆς Διαθήκης. Καὶ Ἰωάν. Ἑρνέστ. Γράβιον Σταχυολογ. Τόμ. Α'. Καὶ Ἰττίγιον ἐν διαλέξ. περὶ τῶν ψευδεπιγράφων, τοῦ Χριστοῦ τῆς Μαρίας. καὶ τῶν Ἀποστ. Κεφ. ά. Καὶ Λουπῖνον δὲ, ἐν τῷ προεισοδιώδει αὐτοῦ λόγῳ περὶ τῆς Θείας Γραφῆς, βιβλ. Β'. Καὶ Καβέον, ἐν τοῖς περὶ τῶν Ἐκκλησ. Συγγραφέων, ἐν αἰῶνι Α'. τῷ Ἀποστολικῷ. Καὶ Καλμέτην ἐν τῇ διαλέξει, ἣν περὶ τῶν ἀποκρύφων Εὐαγγελίων συνέγραψεν. κξ. κξ.

---

[24]) *Ἐν τῷ Καταλόγῳ*

[25]) *Ἐν ἐπιστ. ιδ'. ἢ ὡς ἄλλως ρνγ'.*

[26]) *Περὶ Θεοῦ πόλεως Κεφ. ιά.*

ΚΑΤΑΛΟΓΟΣ ΙΓ'.

Παρὰ τοὺς τρεῖς Ἰουδαίους, Φίλωνά τε καὶ Ἰώσηπον, καὶ Ἰοῦστον Τιβεριέα, ὧν ἀνωτέρω ἐν τῷ ΙΑ'. καταλόγῳ ἐμνήσθημεν· κατὰ τὴν α'. τῶν ἀπὸ Χριστοῦ ἑκατονταετηρίδων ἤκμασαν τῶν θύραθεν, οἱ ἑξῆς, ἄνδρες παιδείᾳ διαφέροντες.

Α'. Μουσώνιος ὁ Τυρρηνὸς, Διαλεκτικὸς φιλόσοφος, καὶ στωϊκός· ὁ διὰ τὸ ἰταμὸν τοῦ ἐλεγκτικοῦ τρόπου ὑπὸ Νέρωνος ἀναιρεθείς. Γέγραφε λόγους διαφόρους, καὶ ἐπιστολὰς, ἐξ ὧν τινὰς καὶ Ἀπολλωνίῳ τῷ Τυανεῖ, ᾧ γνώριμος ἦν [1]).

Β'. Κορνοῦτος Λεπτίτης φιλόσοφος· ἡ δὲ Λεπτός, πόλις Λιβύης· γεγονὼς ἐν Ῥώμῃ ἐπὶ Νέρωνος, καὶ πρὸς τούτου ἀναιρεθεὶς συνάμα τῷ Μουσωνίῳ, ἔγραψε δὲ πολλὰ φιλόσοφά τε καὶ Ῥητορικά [2]).

Γ'. Λούκιος Ἀνναῖος Σενέκας ὁ ἐξ Ἱσπανίας, φιλόσοφος στωϊκός· διδάσκαλος χρηματίσας τοῦ Νέρωνος, ὑφ' οὗ καὶ ἀνῄρηται. Συνέγραψεν ἠθικὰ πολλὰ, καὶ τινας Τραγῳδίας· οὐ καλὰ δὲ περὶ αὐτοῦ γράφουσί τινες [3]).

Δ'. Ἀπολλώνιος ὁ Τυανεύς (§ 236.) *Φιλόσοφος καὶ γόης ὁ αὐτός· ἤκμασεν ἐπὶ Κλαυδίου, καὶ Γαΐου, καὶ Νέρωνος· καὶ μέχρι Νερούα, ἐφ' οὗ καὶ μετήλλαξε· Συνέταξε τελετὰς, ἢ περὶ θυσιῶν* [4]), *διαθήκην, χρησμοὺς, ἐπιστολὰς, Πυθαγόρου βίον* [5]).

Ε'. Δημήτριος ὁ Κυνικὸς, ὁ ἐπὶ Γαΐου ἀκμάσας, καὶ

---

[1]) *Ὅρα ἐν Λεξικῷ Σουΐδα.*

[2]) *Σουΐδας ἐν Λεξικῷ.*

[3]) *Τάκιτος Βιβλ. ΙΒ'. καὶ ΙΔ'. καὶ ΙΕ'. τῶν χρονικῶν. [Καὶ Σβετόνιος εἰς τὸν Νέρωνα· καὶ Αὖλος Γέλλιος, καὶ Κοϊντιλιανὸς ιξ.*

[4]) *Τοῦ Συγγράμματος τούτου μέμνηται καὶ Εὐσέβ. ἐν τῇ Εὐαγγελικῇ προπαρασκ. Βιβλ. Δ'. Κεφ. ιγ'.*

[5]) *Φιλόστρατ. εἰς βίον. Ἀπολλων. καὶ Σουΐδας ἐν Λεξ.*

Νέρωνος, καὶ Οὐεσπασιανοῦ. ὑφ' οὗ καὶ διὰ τὸ ἄμετρον τῆς παῤῥησίας εἰς ἐξορίαν πεμφθεὶς, ὅσον οὐχὶ καὶ ἀπώλετο (§ 256).

Ϛ'. Ἐπίκτητος ὁ Ἱεραπολίτης στωϊκὸς Φιλόσοφος, τῇ δὲ τύχῃ δοῦλος Ἐπαφροδίτου· ἤκμαζεν ἐπὶ Νέρωνος· ἐξωρίσθη δὲ ὑπὸ Δομιτιανοῦ κατὰ τὸ υιδ'. καὶ ὑπεργηράσας ἐν Νικοπόλει ἀπέθανε. Συνέγραψε τὸ περίφημον ἐγχειρίδον· στοιχεῖα κατ' αὐτὸν τῆς ἠθικῆς φιλοσοφίας, τὰ δύο ταῦτα: Ἀνέχου, καὶ ἀπέχου. τούτου μετὰ θάνατον, ὁ λύχνος δι' οὗ νυκτὸς ἐμελέτα, ἐπωλήθη τρισχιλίων δραχμῶν [6]).

Ζ'. Ἀλέξανδρος ὁ Αἰγαῖος φιλόσοφος περιπατητικός· Διδάσκαλος Νέρωνος, συνάμα χαιρήμονι τῷ φιλοσόφῳ· οὗτος ἀπεκάλει τὸν Νέρωνα, πηλὸν αἵματι συμπερφυρμένον [7]).

Η'. Πλίνιος Σεκοῦνδος ὁ Γεραίτερος ἐκ τῆς ἐν Ἰταλίᾳ Βερώνης ἐπὶ Τιβερίου βιοὺς, καὶ ἕως Οὐεσπασιανοῦ καὶ Τίτου, τὸ ζῆν παρατείνας· οὗτος κατὰ Φιλοσοφικὴν περιέργειαν, ὑπερπλησιάσας τοῖς Βεσβίου Κρατῆρσιν, καὶ ὑπὸ τῆς ἀτμίδος ἀποπνιγεὶς, οἰκτρῶς κατέστρεψε (§ 265). *Φέρεται ἐξ ὧν συνέγραψεν ἡ Φυσικὴ αὐτοῦ Ἱστορία πολύχουν, καὶ κατάπυκνον ὡς ἀληθῶς φιλοπόνημα, ἐν βιβλίοις τρισὶ πρὸς τοῖς τριάκοντα περαιούμενον.*

Θ'. Στράβων Καππαδὸξ ἐξ Ἀμασίας Γεωγράφος, Ἱστορικὸς καὶ Φιλόσοφος· ἤνθησεν ἐπὶ Αὐγούστου καὶ

---

[6]) *Περὶ τούτου Σιμπλίκιος εἰς τὸν Ἐπικτήτου βίον, καὶ ἄλλοι.*

[7]) *Ὅρα Σουϊδ. ἐν Λεξ.*

Τιβερίου. Σώζονται ἐκ τῶν αὐτοῦ συγγραμμάτων τὰ Γεωγραφικὰ ἐν βιβλίοις ἑπτακαίδεκα.

Ι΄. Ἀπίων ὁ Γραμματικὸς, γεννηθεὶς κατὰ τὴν ὄασιν τῆς Αἰγύπτου· δυσμενέστατος τοῖς Ἰουδαίοις· καθ' ὧν καὶ ὑπὲρ Ἀλεξανδρέων, περὶ τὸ μ΄. ἔτος πρὸς Καλιγόλαν διεπρέσβευσεν συνέγραψεν Αἰγύπτου Ἱστορίας ἐν Βιβλ. Ε΄. καὶ κατὰ Ἰουδαίων ἐν μέρει, πρὸς ὃ Ἰώσηπος ἀπήντησεν. Ἀναφέρεται δὲ αὐτοῦ καὶ τὸ περὶ τρυφῆς Ἀπικίου· καὶ τὸ περὶ Γλώσσης τῆς Ῥωμαϊκῆς· τοῦτον ὁ Τιβέριος ἐπονόμαζε κόσμου Κύβαλον· ὡς περιαυτολόγον ἀδολεσχότατον.

ΙΑ΄. Κόϊντος Κούρτιος Ῥοῦφος· ἐπὶ Τιβερίου, ἢ Οὐεσπασιανοῦ κατ' ἄλλους· κατά τινας δὲ, καὶ ἐπὶ Τραϊανοῦ ἀκμάσας· Ἱστορικὸς γλαφυρώτατος ἐν Λατίνοις· Συνέταξε δὲ τὴν κατ' Ἀλέξανδρον Ἱστορίαν ἐν βιβλίοις δέκα, ὧν τὰ πρῶτα δύο ἀπώλοντο.

ΙΒ΄. Μάρκος Ἀνναῖος Λουκανὸς, ἀνεψιὸς τοῦ Φιφοῦ Σενέκα, ποιητής. φίλος μὲν τοῦ Νέρωνος κατ' ἀρχὰς, εἶτα διὰ τὴν ποιητικὴν ἅμιλλαν ἐχθρός· ὅθεν καὶ εἰς τὴν κατ' ἐκείνου συνομωσίαν τὴν ὑπὸ Πίσωνος κινηθεῖσαν, εἰς θάνατον κατακριθεὶς· τῶν τοῦ Λουκανοῦ ποιημάτων σώζεται ἡ ἐπιγραφομένη Φαρσαλία, ἐν Βιβλίοις ἓξ Λατινιστὶ στιχουργηθεῖσα· δι' ἧς περιγράφεται ἱστορικώτερον μᾶλλον, ἢ ποιητικώτερον, ὁ μεταξὺ Καίσαρος καὶ Πομπηΐου Φαρσαλικὸς πόλεμος [8]).

ΙΓ΄. Γάϊος Σίλιος Ἰταλικὸς, Λατῖνος ποιητὴς καὶ οὗτος, ὃς ὑπατεύων ἦν ἐπὶ τῆς καταστροφῆς τοῦ Νέρω-

[8]) Περὶ τούτου Τάκιτος, Στάτιος, Ἱερώνυμ.

νος· ἐῤῥαψώδησεν αὐτὸς ἅλις ἀφελῶς τὰ τοῦ δευτέρου Καρχηδονικοῦ πολέμου· μὴ φέρων δὲ τὴν τοῦ πιέζοντος αὐτὸν πάθους ταλαιπωρίαν, ἀποκαρτερήσας ἐτελεύτησεν [9]).

ΙΔ΄. Αὖλος Πέρσιος Φλάκκος Τυῤῥηνὸς, ποιητὴς Λατῖνος Σατυρικὸς, ὁ μηδὲ τοῦ Νέρωνος αὐτοῦ, ἐν ταῖς ἰδίαις σατύραις φεισάμενος [10]).

ΙΕ΄. Μάρκος Οὐαλέριος Μαρτιάλις ἐξ Ἱσπανῶν ὁρμώμενος, ποιητὴς ἐπιγραμματοποιὸς πολλὴν κατὰ τῶν κατ' ἐκεῖνο καιροῦ Ῥωμαϊκῶν ἠθῶν χολὴν κατεχέας· ἐπαινέτης μὲν τοῦ Δομιτιανοῦ ζῶντος, πικρὸς δὲ κατήγορος τεθνηκότος· ὅθεν καὶ ὑπὸ Τραϊανοῦ παραμεληθεὶς ἐπαλινόστησεν εἰς τὴν ἰδίαν πατρίδα, ὅπου ὑπεργηράσας ἐτελεύτησε. Σώζονται τῶν τούτου Ἐπιγραμμάτων Βιβλία δεκατέσσαρα· ἐν οἷς πολλὰ μὲν ὀξέως τε καὶ περινενοημένως λέγεται, πολλὰ δὲ καὶ καθ' ὑπερβολὴν ἀναιδῶς καὶ ἀκολάστως [11]).

Ις΄. Πούβλιος Παπίνιος Στάτιος Νεαπολίτης, ποιητὴς Λατῖνος, παρὰ Δομιτιανῷ εὐδοκιμῶν· ἐῤῥαψῳδησε τὴν Θηβαΐδα ἐν βιβλ. δυοκαίδεκα· τὴν δὲ Ἀχιλλειάδα ἐν δυσίν· ἐποίησε δὲ καὶ ἄλλα διάφορα ποιημάτια [12]).

ΙΖ΄. Δέκιος Ἰούνιος Ἰουβενάλις Ἰταλὸς, ποιητὴς Σατυρογράφος· ἐξορισθεὶς μὲν εἰς τὴν Λιβύας πεντάπολιν διὰ τὸ καθάψασθαι Πάριδος τοῦ λίαν κεχαρισμένου τῷ

[9]) Ὅρα τὸν Νεώτερ. Πλίν ἐν Βιβλ. Γ΄· Ἐπιστ. ς΄.
[10]) Δίων Βιβλ. Ις΄. Σβετόν εἰς Νέρωνα. Κυϊντιλ. Βιβλ. Γ΄. Κεφ. ά.
[11]) Πλίν. ὁ Νεώτερ. ἐν Βιβλ. Γ΄. Ἐπιστολ. ἐσχάτη. Σπαρτιαν. εἰς Αἴλιον Βῆρον. κξ.
[12]) Περὶ τούτου Πρισκιαν. καὶ οἱ κατ' ἐκεῖνο ἀκμάσαντες Γραμματικοὶ, καὶ συχνοὶ ἄλλοι μνείαν ποιοῦνται.

Νέρωνι· ἐπανακληθεὶς δὲ ἐν Ῥώμῃ καὶ μέχρις Ἀδριανοῦ ἐπιζήσαι λέγεται. Συνέγραψε δὲ Σατύρας ἐκκαίδεκα [13]).

ΙΗ'. Βαλέριος Μάξιμος, Λατῖνος Ἱστορικὸς ἐκ Ῥώμης, ὁ περὶ τῶν ἐπισημοτέρων λόγων τε καὶ πράξεων τῶν Ῥωμαίων, καὶ εὐκλεῶν ἄλλων ἀνδρῶν, βιβλία ἐννέα συντάξας, καὶ Τιβερίῳ αὐτὰ τῷ Καίσαρι ἀναθέμενος [14]).

ΙΘ'. Κορνήλιος Τάκιτος ὁ ἐν τοῖς Ῥωμαίων Ἱστορικοῖς θαυμαζόμενος. Συνέγραψε τὸ περὶ τῶν Αὐτοκρατόρων ἀπὸ Γάλβα μέχρι Δομιτιανοῦ. Συνέγραψε δὲ καὶ χρονικὰ ἀπὸ Αὐγούστου ἕως τοῦ Γάλβα. Πλὴν μέρος τι τῶν τοιούτων συγγραμμάτων ἀπώλετο· παρὰ τὰ εἰρημένα διεξῆλθε καὶ περὶ ἠθῶν τῶν ἐν Γερμανίᾳ ἐθνῶν. Καὶ δὴ, καὶ βιβλίον περὶ Ἀγρικόλα τοῦ ἰδίου πενθεροῦ, τοῦ τὴν Βρεττανίαν ὑπὸ Ῥωμαίοις ποιήσαντος. Ὁ Τάκιτος οὗτος, ἐπραιτώρευσε μὲν ἐπὶ Δομιτιανοῦ· μετὰ δὲ ταῦτα ἐν ἔτει Σωτηρίῳ υιζ'. καὶ ὑπάτευσε.

---

[13]) *Διέλθον περὶ τούτου Λείψιος Βιβλ. Α'. Ζητημ. Ἐπιστ. κ'. καὶ Σκαλίγερ. Ποιητ. Κεφ. ς'. τοῦ ς'. Βιβλ. καὶ ἄλλοι.*

[14]) *Περὶ τούτου ὅρα Βόσσιον ἐν τοῖς περὶ Ἱστορικῶν Λατίνων.*

ΤΕΛΟΣ.

